sit in mundo horizon $AB\Gamma$ et maximus circulorum, qui semper conspicui sunt, $A\Delta E$, alius autem circulus maximus sit ΓZB circulum $A\Delta E$ neque secans neque contingens, et sumantur in ambitu circuli ΓZB duo quaevis puncta Z, H; dico, punctorum Z, H utrum prius oriatur, id prius occidere, et utrum prius occidat, id prius oriri.

sint partes orientales Γ, occidentales autem B, et sint circuli paralleli, per quos puncta Z, H feruntur, ΘK, ΛM, et per Z describatur maximus circulus NZE circulum $A\Delta E$ ita contingens, ut semicirculus ab E ad partes E, Z, N cum semicirculo ab A ad partes A, Γ non concurrat (Theodos. II, 15). itaque arcus KZ arcui MN similis est (ib. II, 13). reliquus igitur arcus $Z\Theta$ et continua eius pars, quae sub terra est, usque ad punctum K similis est arcui $N\Lambda$ et continuae eius parti, quae sub terra est, usque ad punctum M. aequali igitur tempore puncta Z, N arcus $Z\Theta$, $N\Lambda$ et continuas eorum partes usque ad puncta K, M percurrunt (Autolyc. de sph. 2). itaque puncta Z, N simul oriuntur. verum H prius oritur quam N. ergo H etiam prius oritur quam Z.



dico, idem prius occidere.

describatur per punctum Z maximus circulus $\Xi Z\Delta$ circulum $A\Delta E$ ita contingens, ut semicirculus ab Δ ad partes Δ, Z, Ξ cum semicirculo ab A ad partes A, Θ non concurrat (Theodos. II, 15). itaque arcus $Z\Theta$ arcui

Figuras propp. IV et V praebet Vat., figg. codd. a depravatae sunt.

χρόνῳ τὸ Ζ σημεῖον τὴν ΖΘ περιφέρειαν διαπορεύεται καὶ τὸ Ξ σημεῖον τὴν ΞΛ περιφέρειαν. τοῦ Ζ ἄρα σημείου ἐπὶ τὸ Θ σημεῖον παραγενομένου καὶ τὸ Ξ ἐπὶ τὸ Λ παρέσται· τὰ Ζ, Ξ ἄρα σημεῖα ἅμα δύνει. τὸ δὲ Η τοῦ Ξ πρότερον δύνει· τὸ Η ἄρα καὶ τοῦ Ζ πρότερον δύνει.

ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τὸ πρότερον δῦνον πρότερον ἀνατέλλει.

ε′.

Ὅσα τῶν ἄστρων ἐστὶν ἐπὶ μεγίστου κύκλου περιφερείας, ὃς τέμνει τὸν μέγιστον τῶν ἀεὶ φανερῶν, τούτων τὰ πρὸς ταῖς ἄρκτοις ὄντα πρότερον μὲν ἀνατέλλει, ὕστερον δὲ δύνει.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ καὶ μέγιστος τῶν ἀεὶ φανερῶν ὁ ΑΔΕ, ἕτερος δὲ μέγιστος κύκλος ἔστω ὁ ΓΖΒ τέμνων τὸν ΑΔΕ κύκλον. καὶ εἰλήφθω ἐπὶ τῆς περιφερείας τοῦ ΓΖΒ κύκλου δύο τυχόντα σημεῖα τὰ Ζ, Η, καὶ ἔστω τὸ Ζ σημεῖον πρὸς ταῖς ἄρκτοις· λέγω, ὅτι τὸ Ζ σημεῖον τοῦ Η πρότερον μὲν ἀνατέλλει, ὕστερον δὲ δύνει.

ἔστω ἀνατολικὰ μὲν τὰ Γ μέρη, δυτικὰ δὲ τὰ Β, καὶ ἔστωσαν κύκλοι παράλληλοι, καθ' ὧν φέρεται τὰ Ζ, Η σημεῖα, οἱ ΘΚ, ΛΜ, καὶ γεγράφθω διὰ τοῦ Ζ σημείου μέγιστος κύκλος ὁ ΝΖΕ ἐφαπτόμενος τοῦ ΑΔΕ κύκλου,

---

1. Ζ] corr. ex *K* m. 1 V. 2. Ξ] corr. ex *M* m. 1 V; item lin. 3. 4. Λ] corr. ex Ζ m. 1 V. 5. τό] τὸ δέ (comp.) V, sed δέ del. m. 2; καὶ τό Vat. καί] om. Vat. 9. ϛ′ ν′. 12. ταῖς] comp. Vl, τοῖς ν′ Vat. 23. οἱ] corr. ex ἡ m. 2 V, αἱ Ll.


$\Xi\Lambda$ similis est. aequali igitur tempore punctum Z arcum $Z\Theta$ percurrit et punctum Ξ arcum $\Xi\Lambda$. itaque cum punctum Z ad punctum Θ pervenit, etiam Ξ ad Λ perveniet. quare puncta $Z\Xi$ simul occidunt. verum H prius occidit quam Ξ. ergo H etiam prius occidit quam Z.

similiter demonstrabimus, punctum prius occidens etiam prius oriri.

V.

Quaecumque stellae in ambitu circuli maximi sunt, qui maximum circulorum, qui semper conspicui sunt, secat, earum, quae ad septentriones sunt, prius oriuntur, posterius autem occidunt.

sit in mundo horizon $AB\Gamma$ et maximus circulorum, qui semper conspicui sunt, $A\Delta E$, alius autem circulus maximus sit ΓBZ circulum $A\Delta E$ secans et sumantur in ambitu circuli ΓZB duo quaevis puncta Z, H, et sit punctum Z ad septentriones; dico, punctum Z prius oriri quam H, posterius autem occidere.



sint partes orientales Γ, occidentales autem B, et sint circuli paralleli, per quos puncta Z, H feruntur, ΘK, ΛM, et describatur per punctum Z maximus circulus NZE circulum $A\Delta E$ ita contingens, ut semicirculus ab

ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ *E* ἡμικύκλιον ὡς ἐπὶ τὰ *Z*, *N* τῷ ἀπὸ τοῦ *A* ἡμικυκλίῳ ὡς ἐπὶ τὰ *A*, Γ, *K* μέρη· ὁμοία ἄρα ἐστὶν ἡ *ZK* περιφέρεια τῇ *NM* περιφερείᾳ· λοιπὴ ἄρα ἡ *ΘZ* περιφέρεια καὶ ἡ συνεχὴς αὐτῇ ὑπὸ γῆν μέχρι τοῦ *K* σημείου ὁμοία ἔσται τῇ *ΛN* περιφερείᾳ καὶ τῇ συνεχεῖ αὐτῇ τῇ ὑπὸ γῆν μέχρι τοῦ *M* σημείου. ἐν ἴσῳ ἄρα χρόνῳ τὰ *Z*, *N* σημεῖα τὰς *ZΘ*, *NΛ* περιφερείας καὶ τὰς συνεχεῖς αὐταῖς τὰς μέχρι τῶν *K*, *M* σημείων διαπορεύεται· τὰ *Z*, *N* σημεῖα ἄρα ἅμα ἀνατέλλει· τὸ δὲ *N* τοῦ *H* πρότερον ἀνατέλλει· καὶ τὸ *Z* ἄρα τοῦ *H* πρότερον ἀνατέλλει.

λέγω, ὅτι καὶ ὕστερον δύνει.

γεγράφθω διὰ τοῦ *Z* σημείου μέγιστος κύκλος ὁ *ΞZΔ* ἐφαπτόμενος τοῦ *AΔE* κύκλου, ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ *Δ* ἡμικύκλιον ὡς ἐπὶ τὰ *Δ*, *Ξ* μέρη τῷ ἀπὸ τοῦ *A* ἡμικυκλίῳ ὡς ἐπὶ τὰ *A*, *Θ* μέρη. ὁμοία ἄρα ἐστὶν ἡ *ZΘ* περιφέρεια τῇ *ΞΔ* περιφερείᾳ. ἐν ἴσῳ ἄρα χρόνῳ τὸ *Z* τὴν *ZΘ* περιφέρειαν διαπορεύεται καὶ τὸ *Ξ* τὴν *ΞΔ*· τοῦ *Z* ἄρα ἐπὶ τὸ *Θ* σημεῖον παραγενομένου καὶ τὸ *Ξ* ἐπὶ τὸ *Δ* παρέσται. τὰ *Z*, *Ξ* ἄρα σημεῖα ἅμα δύνει. τὸ δὲ *H* τοῦ *Ξ* πρότερον δύνει· καὶ τὸ *H* ἄρα τοῦ *Z* πρότερον δύνει· ὥστε τὸ *Z* τοῦ *H* ὕστερον δύνει· ἐδείχθη δὲ καὶ πρότερον ἀνατέλλον· τὸ *Z* ἄρα τοῦ *H* πρότερον μὲν ἀνατέλλει, ὕστερον δὲ δύνει.

ϛ′.

Τὰ ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου ἄστρα τὰ κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει· ὁμοίως δὲ καὶ τὰ ἐπὶ τοῦ ἰσημερινοῦ.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ *ABΓ*, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν *AHBΔ*, ἰσημερινὸς δὲ ἔστω ὁ

---

2. *N*] corr. ex *K* m. 2 V. Post *N* add. *μέρη* m. 1 Vat. *A* (alt.)] om. Vat. 3. *ὁμοία* — 9. *διαπορεύεται*] mg. m. 2 V (*κείμενον*). 3. *NM*] *MN* Vat. 9. Post *σημεῖα* ras. 3 litt. V.

E velut ad partes Z, N cum semicirculo ab A velut ad partes Γ, K non concurrat (Theodos. II, 15). itaque arcus ZK arcui NM similis est (ib. II, 13). reliquus igitur arcus ΘZ et continua eius pars, quae sub terra est, usque ad punctum K similis erit arcui ΛN et continuae eius parti, quae sub terra est, usque ad punctum M. aequali igitur tempore puncta Z, N arcus $Z\Theta$, $N\Lambda$ et continuas eorum partes usque ad puncta K, M percurrunt (Autolyc. de sph. 2). itaque puncta Z, N simul oriuntur. verum N prius oritur quam H. ergo etiam Z prius oritur quam H.

dico, idem posterius occidere.

describatur per punctum Z maximus circulus $\Xi Z\Delta$ circulum $A\Delta E$ ita contingens, ut semicirculus ab Δ velut ad partes Δ, Ξ cum semicirculo ab A ad partes A, Θ non concurrat (Theodos. II, 15). itaque arcus $Z\Theta$ arcui $\Xi\Lambda$ similis est (ib. II, 13). aequali igitur tempore Z arcum $Z\Theta$ percurrit et Ξ arcum $\Xi\Lambda$ (Autolyc. de sph. 2). itaque cum Z ad punctum Θ pervenit, etiam Ξ ad Λ perveniet. quare puncta Z, Ξ simul occidunt. verum H prius occidit quam Ξ. ergo Z posterius occidit quam H. sed demonstratum est, idem prius oriri. ergo Z prius oritur quam H, posterius autem occidit.

VI.

Eae stellae, quae in circulo zodiaco iuxta diametrum oppositae sunt, coniugate et oriuntur et occidunt; similiter etiam eae, quae in aequinoctiali sunt.

sit in mundo horizon $AB\Gamma$, zodiacus autem circulus positionem habeat $AHB\Delta$, aequinoctialis autem sit $EZ\Delta$,

---

15. Δ] (alt.)] Z Vat. 16. A, Θ] Θ, Λ in ras. m. 2 Vat. ὁμοία — 20. παρέσται mg. m. 2 V. ἄρα] ἔτι Ll. 20. Post τά add. δέ (comp.) m. 2 V. 24. μέν] om. Vat. 25. ς′] ζ′ ν′. 30. $AB\Delta$ Vat. Post ἔστω add. αὐτῶν Vat.

EZΔ· καὶ ἔστω τὰ ὑπὲρ γῆν τμήματα τὰ AHB, EHZ· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ μὲν A σημεῖον τῷ B, τὸ δὲ E τῷ Z· λέγω, ὅτι τά τε A, B σημεῖα καὶ τὰ E, Z σημεῖα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει.

ἔστω ἀνατολικὰ μὲν τὰ A, Γ μέρη, δυτικὰ δὲ τὰ B, E, καὶ ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ A, B σημεῖα οἱ AΘ, BΓ, καὶ ἔστω τὸ μὲν AΘ τμῆμα τὸ ὑπὲρ γῆν, τὸ δὲ BΓ τὸ ὑπὸ γῆν. ἐπεὶ κατὰ διάμετρόν ἐστι τὸ μὲν A σημεῖον τῷ B, τὸ δὲ E τῷ Z, ἴση ἄρα ἡ EB περιφέρεια τῇ AZ περιφερείᾳ· ἀλλ' ἡ EB τῇ ZΓ ἴση ἐστίν· καὶ ἡ AZ ἄρα τῇ ZΓ ἴση ἐστιν. καί ἐστι μέγιστος τῶν παραλλήλων ὁ EZΔ· ἴσος ἄρα ἐστὶν ὁ AΘ κύκλος τῷ BΓ κύκλῳ. καί ἐστιν αὐτῶν τὰ ἐναλλὰξ τμήματα τὰ AΘ, BΓ· ἴση ἄρα ἐστὶν ἡ AΘ περιφέρεια τῇ BΓ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ A σημεῖον τὴν AΘ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ παρέσται καὶ τὸ B τὴν BΓ διελθὸν ἐπὶ τὸ Γ παρέσται. ἀλλὰ τὸ μὲν A τὴν AΘ διελθὸν καὶ ἐπὶ τὸ Θ παραγενόμενον δύνει, τὸ δὲ B τὴν BΓ διελθὸν καὶ ἐπὶ τὸ Γ παραγενόμενον ἀνατέλλει· τοῦ A ἄρα δύνοντος τὸ B ἀνατέλλει. ὁμοίως δὲ δείξομεν, ὅτι καὶ τοῦ A ἀνατέλλοντος τὸ B δύνει.

πάλιν, ἐπεὶ ἡμικύκλιόν ἐστιν ἑκάτερον τῶν EHZ, ZΔE, ἴση ἐστὶν ἡ ZΔE περιφέρεια τῇ EHZ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Z σημεῖον τὴν ZE περιφέρειαν διελθὸν ἐπὶ τὸ E παρέσται καὶ τὸ E τὴν EΔZ περιφέ-


---

1. *EZΔ*] *EZ* Vat. Post *τά* (pr.) ins. *μέν* Vat. 2. *ἄρα*] om. Vat, supra add. m. 2. 3. *σημεῖα*] punctis del. Vat. 5. *Γ*] om. Vat. *E*] om. Vat. 7. *οἱ*] corr. ex *ὁ* V. 8. *γῆν* (pr.)] *γῆς* Vat. *ἐπεί*] supra add. *καί* m. 2 Vat. 9. *ἄρα*] om. Vat. *ἡ*] *ἐστίν ἡ* Vat. 11. *καί ἐστι*] mg. m. 2 V. 12. *EZΔ*] *EΔZ* Vat. 14. *AΘ* (pr.)] *AZ* V. 15. *τῇ BΓ περιφερείᾳ*] mg. m. 2 Vat. 21. *δέ*] *δή* Vat. 22. *EHZ*] corr. ex *EZH* V. 24. *ZE*] *ZHE* Vat.

Verba figurae cod. V et adscripta et inscripta om. Vat., item in propp. seqq.

et sint eorum segmenta super terram *AHB*, *EHZ*. itaque puncta *A*, *B* et *E*, *Z* iuxta diametrum opposita sunt; dico, puncta et *A*, *B* et *E*, *Z* coniugate et oriri et occidere.

sint partes orientales *A*, *Γ*, occidentales autem *B*, *E*, et sint circuli paralleli, per quos puncta *A*, *B* feruntur, *AΘ*, *BΓ*, et sit *AΘ* segmentum super terram, *BΓ* autem segmentum sub terra. quoniam puncta *A*, *B* et *E*, *Z* iuxta diametrum opposita sunt, arcus *EB* arcui *AZ* aequalis est; verum *EB* ipsi *ZΓ* aequalis est; quare etiam *AZ* ipsi *ZΓ* aequalis est. et *EZΔ* maximus circulorum parallelorum est. itaque circulus *AΘ* circulo *BΓ* aequalis est (Theodos. II, 17). et *AΘ*, *BΓ* alterna eorum segmenta sunt. itaque arcus *AΘ* arcui *BΓ* aequalis est (ib. II, 19). aequali igitur tempore punctum *A*, postquam arcum *AΘ* percurrit, ad *Θ* perveniet et *B*, postquam arcum *BΓ* percurrit, ad *Γ* perveniet (Autolyc. de sph. 2). verum *A*, postquam arcum *AΘ* percurrit et ad *Θ* pervenit, occidit, *B* autem, postquam arcum *BΓ* percurrit et ad *Γ* pervenit, oritur. ergo puncto *A* occidente *B* oritur. similiter demonstrabimus, etiam *A* oriente *B* occidere.



rursus, quoniam uterque arcus *EHZ*, *ZΔE* semicirculus est (Theodos. I, 11), arcus *ZΔE* arcui *EHZ* aequalis est. aequali igitur tempore punctum *Z*, postquam arcum *ZE* percurrit, ad *E* perveniet et *E*, postquam arcum

ρειαν διελθὸν ἐπὶ τὸ Ζ παρέσται. ἀλλὰ τὸ μὲν Ζ τὴν ΖΕ διελθὸν καὶ ἐπὶ τὸ Ε παραγενόμενον δύνει, τὸ δὲ Ε τὴν ΕΔΖ διελθὸν καὶ ἐπὶ τὸ Ζ παραγενόμενον ἀνατέλλει· τοῦ Ζ ἄρα δύνοντος τὸ Ε ἀνατέλλει. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τοῦ Ζ ἀνατέλλοντος τὸ Ε δύνει. ὁμοίως δὲ καὶ πάντα τὰ ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου ἄστρα, καὶ τὰ ἐπὶ τοῦ ἰσημερινοῦ τὰ κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει.

ζ'.

Ὁ τῶν ζῳδίων κύκλος κατὰ πάντα τὸν τόπον τοῦ ὁρίζοντος τὸν μεταξὺ τῶν τροπικῶν κύκλων ἀνατέλλει τε καὶ δύνει, ὅταν ὁ μέγιστος τῶν ἀεὶ φανερῶν μὴ μείζων ᾖ τοῦ τροπικοῦ κύκλου, καὶ τροπᾶς ποιεῖται ἐναντίως μεθιστάμενος. ὅταν μὲν γὰρ ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίστηται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται· ὅταν δὲ ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίστηται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται. καὶ ἀλλοτε ἄλλως ὑπὲρ ἡμᾶς ἵσταται.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ καὶ θερινὸς μὲν τροπικὸς ὁ ΑΔ, χειμερινὸς δὲ ὁ ΒΓ, ὁ δὲ ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν ΔΕΒ, καὶ ἔστω τὸ μὲν ΔΕΒ τμῆμα ὑπὸ γῆν, τὸ δὲ ΔΖΒ ὑπὲρ γῆν· λέγω, ὅτι ὁ τῶν ζῳδίων κύκλος κατὰ πάντα τὸν τόπον τοῦ ὁρίζοντος τὸν μεταξὺ τῶν τροπικῶν ἀνατέλλει τε καὶ δύνει καὶ τροπὰς ποιεῖται ἐναντίως μεθιστάμενος. ὅταν μὲν γὰρ ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίστηται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται· ὅταν δὲ ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίστηται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται. καὶ ἄλλοτε ἄλλως ὑπὲρ ἡμᾶς ἵσταται.

---

2. ΖΕ] ΖΗ V, ΖΗΕ Vat. 4. δύναντος a. Ε] ΕΔ V, sed Δ del. m. 1. 6. δέ] δή Vat. 8. τέ] om. V. Seq. in Vat. demonstr. altera, v. app. 9. ζ'] η' ν'. 10. τόν] om. Vat.

$E\Delta Z$ percurrit, ad Z perveniet. verum Z, postquam arcum ZE percurrit et ad E pervenit, occidit, E autem, postquam arcum $E\Delta Z$ percurrit et ad Z pervenit, oritur. ergo puncto Z occidente E oritur. iam similiter demonstrabimus, etiam puncto Z oriente E occidere. similiter autem et omnes stellae, quae in circulo zodiaco et eae, quae in aequinoctiali iuxta diametrum oppositae sunt, coniugate et oriuntur et occidunt.

VII.

Circulus zodiacus toto loco horizontis, qui inter circulos tropicos est, et oritur et occidit, si maximus circulorum, qui semper conspicui sunt, non maior est, quam circulus tropicus, et conversiones facit in contrarias partes se movens. nam si ortibus ad meridiem se movet, occasibus ad septentriones se movens adparet; sin autem ortibus ad septentriones se movet, occasibus ad meridiem se vertens adparet. et alio tempore aliter super nos stat.

sit in mundo horizon $AB\Gamma$, et aestivus tropicus sit $A\Delta$, hiemalis autem $B\Gamma$, zodiacus autem circulus positionem habeat ΔEB, et segmentum ΔEB sub terra sit, ΔZB autem super terram; dico, circulum zodiacum toto loco horizontis, qui inter tropicos sit, et oriri et occidere et conversiones facere in contrarias partes se moventem. nam si ortibus ad meridiem se movet, occasibus ad septentriones se movens adparet, sin autem ortibus ad septentriones se movet, occasibus ad meridiem se movens adparet. et alio tempore aliter super nos stat.

---

12. *ὅταν* — 13. *κύκλου*] mg. m. 2 Vat. 18. *ἄλλοτε*] *-o-* in ras. V. 19. Post *τροπικός* add. *ἔστω* Vat. 20. Post *δέ* (pr.) add. *τροπικός* Vat. 23. *τόν*] om. Vat., item p. 36 lin. 2. 24. *τε*] om. Vat.

ἔστω ἀνατολικὰ μὲν τὰ Δ, Γ μέρη, δυτικὰ δὲ τὰ Α, Β. ὅτι μὲν οὖν ὁ τῶν ζῳδίων κύκλος κατὰ πάντα τὸν τόπον τοῦ ὁρίζοντος τὸν μεταξὺ τῶν τροπικῶν ἀνατέλλει τε καὶ δύνει, φανερόν, ἐπειδήπερ μειζόνων κύκλων ἐφάπτεται ἢ ὧν ὁ ὁρίζων ἐφάπτεται.

λέγω, ὅτι καὶ τροπὰς ποιεῖται ἐναντίως μεθιστάμενος. εἰλήφθωσαν γὰρ ἴσαι τε καὶ ἀπεναντίον περιφέρειαι αἱ ΔΕ, ΖΒ, καὶ γεγράφθωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Ε, Ζ σημεῖα, οἱ ΗΕΘ, ΚΖΛ. ἐπεὶ ἴση ἐστὶν ἡ ΔΕ περιφέρεια τῇ ΖΒ περιφερείᾳ, κοινὴ προσκείσθω ἡ ΕΒ· ὅλη ἄρα ἡ ΔΕΒ ὅλῃ τῇ ΕΒΖ ἐστιν ἴση· ἡμικύκλιον δέ ἐστι τὸ ΔΕΒ· ἡμικύκλιον ἄρα καὶ τὸ ΕΒΖ· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ Ε σημεῖον τῷ Σ σημείῳ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΕΔ περιφέρεια τῇ ΔΜ περιφερείᾳ, ἡ δὲ ΖΒ τῇ ΒΝ, ἀλλ' ἡ ΔΕ τῇ ΖΒ ἐστιν


---

4. *ἐπειδήπερ* — 5. *ἐφάπτεται*] fortasse interpolata. 4. *μειζόνων*] in ras. V. *κύκλων*] supra comp. add. m. 1 V. *κύκλων ἐφάπτεται*] *ἐφάπτεται κύκλων* Vat. 5. *ἢ ὧν*] in ras. V. *ὁ*] om. **a**. *ὁρίζων ἐφάπτεται*] supra m. 2 V. 6. *λέγω*] *λέγω δέ* Vat. 7. *ἀπειλήφθωσαν* Vat. *γάρ*] om. Vat. 9. *ἐπεί* add. *καί* m. 2 Vat. 10. *τῇ ΖΒ περιφερείᾳ*] supra m. 2 Vat. 12. *ἡμικύκλιον δέ ἐστι τὸ ΔΕΒ*] supra m. 2 Vat. Post *ἄρα* add *ἐστί* Vat. 15. *ἀλλά* Vat.

In figg. codd. **a** *AΔ* et *BΓ* semicirculi sunt; litteras *M*, *Ξ*, *Π* add. m. 2 V.

sint partes orientales Δ, Γ, occidentales autem A, B. zodiacum igitur circulum toto loco horizontis, qui inter tropicos sit, et oriri et occidere, manifestum est, quoniam maiores circulos tangit quam quos horizon tangit (Autolyc. de sph. 11).

dico, eundem conversiones facere in contrarias partes se moventem.



sumantur enim aequales et oppositi arcus ΔE, ZB, et describantur circuli paralleli, per quos puncta E, Z, feruntur, $HE\Theta$, $KZ\Lambda$. quoniam arcus ΔE arcui ZB aequalis est, communis adiciatur arcus EB. totus igitur arcus ΔEB toti arcui EBZ aequalis est. sed ΔEB semicirculus est; quare etiam EBZ semicirculus est; itaque puncta E, Z iuxta diametrum opposita sunt. et quoniam arcus $E\Delta$ arcui ΔM aequalis est et arcus ZB arcui BN (Theodos. II, 13), arcus ΔE autem

ἴση, καὶ ἡ ΔM ἄρα τῇ BN ἐστιν ἴση· κοινὴ προσκείσθω ἡ MB· ὅλη ἄρα ἡ ΔMB ὅλῃ τῇ MBN ἐστιν ἴση. ἡμικύκλιον δέ ἐστι τὸ ΔMB· ἡμικύκλιον ἄρα ἐστὶ καὶ τὸ MBN· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ M σημεῖον τῷ N σημείῳ. καὶ ἐπεὶ τοῦ τῶν ζῳδίων κύκλου τὰ κατὰ διάμετρον ὄντα σημεῖα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει, τοῦ Δ ἄρα σημείου ἀνατέλλοντος κατὰ τὸ Δ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ B δύνει κατὰ τὸ B σημεῖον καὶ τοῦ E ἀνατέλλοντος κατὰ τὸ Θ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Z δύνει κατὰ τὸ K σημεῖον καὶ τοῦ N σημείου ἀνατέλλοντος κατὰ τὸ Λ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ M δύνει κατὰ τὸ H σημεῖον, καὶ ἔτι τοῦ B σημείου ἀνατέλλοντος κατὰ τὸ Γ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Δ δύνει κατὰ τὸ A σημεῖον. ὅταν ἄρα ὁ τῶν ζῳδίων κύκλος ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίστηται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται.

λέγω, ὅτι καί, ὅταν ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίστηται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται.

ἀνατείλαντος γὰρ τοῦ ΔEB ἡμικυκλίου ὁ τῶν ζῳδίων κύκλος θέσιν ἕξει τὴν $A\Xi\Gamma$. καὶ ὁμοίως δείξομεν, ὅτι κατὰ διάμετρόν ἐστι τὸ μὲν Ξ σημεῖον τῷ O σημείῳ, τὸ δὲ P τῷ Π. καὶ ἐπεὶ τοῦ Γ σημείου ἀνατέλλοντος κατὰ τὸ Γ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ A δύνει κατὰ τὸ A σημεῖον, τοῦ δὲ O σημείου ἀνατέλλοντος κατὰ τὸ Λ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ξ δύνει κατὰ τὸ H σημεῖον, τοῦ δὲ Π σημείου ἀνατέλλοντος κατὰ τὸ Θ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ P δύνει κατὰ τὸ K σημεῖον καὶ ἔτι τοῦ A σημείου ἀνατέλλοντος κατὰ τὸ Δ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Γ δύνει κατὰ τὸ B σημεῖον, ὅταν ἄρα ὁ τῶν

---

2. ἴση] supra m. 2 Vat. 5. κύκλου] corr. ex κύκλων m. 2

arcui ZB aequalis est, etiam arcus ΔM arcui BN aequalis est. communis adiciatur arcus MB; totus igitur arcus ΔMB toti arcui MBN aequalis est. sed ΔMB semicirculus est; quare etiam MBN semicirculus est; itaque puncta M, N iuxta diametrum opposita sunt. et quoniam ea circuli zodiaci puncta, quae iuxta diametrum opposita sunt, coniugate et oriuntur et occidunt (prop. VI), puncto Δ oriente in Δ punctum B iuxta diametrum ei oppositum in puncto B occidit et puncto E oriente in Θ punctum Z iuxta diametrum ei oppositum in puncto K occidit et puncto N oriente in puncto Δ punctum M iuxta diametrum ei oppositum in puncto H occidit et praeterea puncto B oriente in puncto Γ punctum Δ iuxta diametrum ei oppositum in puncto A occidit. ergo circulus zodiacus, si ortibus ad meridiem se movet, occasibus ad septentriones se movens adparet.

dico, eundem, si ortibus ad septentriones se moveat, occasibus ad meridiem se moventem adparere.

nam postquam semicirculus ΔEB ortus est, circulus zodiacus positionem habebit $A\Xi\Gamma$. et similiter demonstrabimus, punctum Ξ puncto O iuxta diametrum oppositum esse, P autem puncto Π. et quoniam puncto Γ in puncto Γ oriente punctum A iuxta diametrum ei oppositum in puncto A occidit, puncto O autem in puncto Δ oriente punctum Ξ iuxta diametrum ei oppositum in puncto H occidit, puncto Π autem in puncto Θ oriente punctum P iuxta diametrum ei oppositum in puncto K occidit et praeterea puncto A in puncto Δ oriente punctum Γ iuxta diametrum ei oppositum in puncto B occidit, circulus zodiacus, si ortibus ad sep-

---

Vat. 21. *ἀνατείλαντος*] corr. ex *ἀνατέλλοντος* m. 2 V. 23. *O*] e corr. V. 30. *ἔτι*] e corr. V. *A*] corr. ex *M* V. 32. *Γ*] in ras. V.

ξῳδίων κύκλος ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίστηται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται. ἐδείχθη δέ, ὅτι καὶ ὅταν ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίστηται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται.

καὶ φανερόν, ὅτι ἄλλοτε ἄλλως ὑπὲρ ἡμᾶς ἵσταται.

ὅταν μὲν γὰρ ἡ συναφὴ τοῦ ξῳδιακοῦ κύκλου καὶ τοῦ θερινοῦ τροπικοῦ ἐπὶ τῆς διχοτομίας ᾖ τοῦ ὑπὲρ γῆν τμήματος τοῦ θερινοῦ τροπικοῦ κύκλου, ὀρθότατος ἔσται πρὸς ἡμᾶς· ὅταν δὲ ἐπὶ τῆς διχοτομίας τοῦ ὑπὸ γῆν τμήματος τοῦ θερινοῦ τροπικοῦ, ταπεινότατος ἔσται πρὸς ἡμᾶς· καὶ ἀεὶ μὲν πορρώτερον γιγνόμενος τῆς διχοτομίας τοῦ ὑπὲρ γῆν τμήματος τοῦ θερινοῦ τροπικοῦ, μᾶλλον ἔσται κεκλιμένος· ὁμοίως δὲ ἔσται κεκλιμένος, ἴσον ἀπέχων ὁποτερασοῦν τῶν διχοτομιῶν.

η΄.

Τὰ ξῴδια ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλει τε καὶ δύνει· καὶ ἐν μεγίστοις μὲν τὰ πρὸς τῷ ἰσημερινῷ, ἐν ἐλάσσοσι δὲ τὰ ἑξῆς τούτων· ἐν ἐλαχίστοις δὲ τὰ πρὸς τοῖς τροπικοῖς, ἐν ἴσοις δὲ τὰ ἴσον ἀπέχοντα τοῦ ἰσημερινοῦ κύκλου.

ἔστω ἐν κόσμῳ ὁρίζων κύκλος ὁ $AB\Gamma\Delta$, τροπικοὶ δὲ οἱ $A\Gamma$, $B\Delta$, ὁ δὲ τῶν ξῳδίων κύκλος θέσιν ἐχέτω τὴν $B\Gamma$, ἰσημερινὸς δὲ κύκλος ὁ EZ, καὶ διῃρήσθω ἑκάτερα τῶν ΓH, HB εἰς τρία ἴσα κατὰ τὰ N, K, Π, T σημεῖα· λέγω, ὅτι αἱ ΓN, NK, KH, $H\Pi$, ΠT, TB περιφέρειαι ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλουσί τε καὶ δύνουσι, καὶ ἐν μεγίστοις μὲν αἱ KH, $H\Pi$, ἐν ἐλάσσοσι δὲ αἱ KN, ΠT, ἐν ἐλαχίστοις δὲ αἱ

---

7. καὶ τοῦ θερινοῦ τροπικοῦ] om. Vat. 8. ᾖ] post κύκλου (lin. 7) scr. Vat. 9. κύκλου] om. Vat. ὀρθότατος] ὀρθό- in ras. V. 13. γῆν] γῆς Vat. 16. η΄] θ΄ ν΄. 17. ἐν] supra scr.

tentriones se movet, occasibus ad meridiem se movens adparet. demonstratum autem est, eundem, si ortibus ad meridiem se moveat, occasibus ad septentriones se moventem adparere.

et manifestum est, eum alio tempore aliter super nos stare.

nam si contactus circuli zodiaci et circuli aestivi in puncto medio est segmenti circuli aestivi, quod super terram est, ad nos rectissimus erit; sin autem in puncto medio est segmenti circuli aestivi, quod sub terra est, ad nos humillimus erit; et remotior semper factus a puncto medio segmenti circuli aestivi, quod super terram est, magis erit inclinatus; similiter autem erit inclinatus, si ab utrovis puncto medio aequali intervallo distat (Theodos. II, 22).

VIII.

Signa inaequalibus segmentis horizontis et oriuntur et occidunt, ac maximis quidem ea, quae ad aequinoctialem sunt, minoribus autem ea, quae haec deinceps sequuntur, minimis autem ea, quae ad tropicos sunt, aequalibus autem ea, quae ab aequinoctiali aequali intervallo distant.

sit in mundo circulus horizon $AB\Gamma\Delta$, tropici $A\Gamma$, $B\Delta$, zodiacus autem circulus positionem habeat $B\Gamma$, aequinoctialis autem circulus EZ, et uterque arcus ΓH, HB in tres partes aequales dividatur in punctis N, K, Π, T; dico, arcus ΓN, NK, KH, $H\Pi$, ΠT, TB inaequalibus segmentis horizontis et oriri et occidere, ac maximis quidem KH, $H\Pi$, minoribus autem KN, ΠT,

---

m. 1 V. *ἀνίσοις*] α in ras. V. 22. *ἐν κόσμῳ*] om. Vat. 24. $B\Gamma$] ΓB Vat. $B\Gamma$] mg. *μέγιστος δὲ τῶν ἀεὶ φανερῶν ὁ* ΦX m. 2 V (*κείμενον*), in textu post $B\Gamma$ ν′, post $B\Delta$ Vat. 26. *ὅτι καί* Vat.

ΓΝ, ΒΤ, ἐν ἴσοις δὲ ἡ μὲν ΚΗ τῇ ΗΠ, ἡ δὲ ΚΝ τῇ ΠΤ, ἡ δὲ ΝΓ τῇ ΤΒ.

ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Ν, Κ, Π, Τ σημεῖα, οἱ ΜΞ, ΘΔ, ΟΡ, ΣΥ. καὶ ἐπεὶ περι-
5 φέρειαι αἱ ΗΚ, ΚΝ, ΝΓ ἴσαι ἀλλήλαις εἰσίν, αἱ ΖΛ, ΛΞ, ΞΓ ἄρα μείζους εἰσὶν ἀλλήλων ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΖΛ. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ μὲν ΕΘ, ΘΜ, ΜΑ μείζους εἰσὶν ἀλλήλων ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΕΘ· καὶ ἔτι αἱ μὲν ΖΡ, ΡΥ, ΥΔ μείζους εἰσὶν ἀλλήλων
10 ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΖΡ, καὶ ἔτι αἱ ΕΟ, ΟΣ, ΣΒ μείζους εἰσὶν ἀλλήλων ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΕΟ. καὶ ἐπεὶ αἱ ΓΝ, ΝΚ, ΚΗ, ΗΠ, ΠΤ, ΤΒ ἀνατέλλουσι μὲν κατὰ τὰς ΓΞ, ΞΛ, ΛΖ, ΖΡ, ΡΥ, ΥΔ περιφερείας, δύνουσι δὲ κατὰ τὰς ΑΜ, ΜΘ, ΘΕ, ΕΟ,
15 ΟΣ, ΣΒ, [ὥστε] ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλουσί τε καὶ δύνουσιν. καὶ ἐπεὶ ἐν σφαίρᾳ παράλληλοι κύκλοι οἱ ΘΛ, ΟΡ μεγίστου τινὸς κύκλου περιφερείας τοῦ ΓΒ τὰς ΠΗ, ΗΚ ἴσας ἀφαιροῦσι πρὸς τὸν μέγιστον τῶν παραλλήλων τὸν ΕΖ, ἴσος ἄρα ἐστὶν ὁ
20 ΘΛ κύκλος τῷ ΟΡ κύκλῳ. ἐπεὶ οὖν ἐν σφαίρᾳ ἴσοι τε καὶ παράλληλοι κύκλοι οἱ ΘΛ, ΟΡ μεγίστου τινὸς κύκλου περιφερείας τοῦ ΑΒΓΔ τὰς ΔΖ, ΖΡ ἀφαιροῦσι πρὸς τὸν μέγιστον τῶν παραλλήλων τὸν ΕΖ, ἴση ἄρα ἐστὶν ἡ ΛΖ περιφέρεια τῇ ΖΡ περιφερείᾳ. ὁμοίως δὴ
25 δείξομεν, ὅτι καὶ ἡ ΞΖ περιφέρεια ἴση ἐστὶ τῇ ΖΥ περι-


---

3. παράλληλοι κύκλοι] post σημεῖα (lin. 4) scr. Vat. 4. καὶ ἐπεὶ περιφέρειαι] ἐπεὶ οὖν Vat. (οὖν supra m. 2). 5. εἰσί V, ut lin. 6, 8. 6. μείζονες Vat., ut lin. 8, 9, 11. 10. ἔτι] corr. ex ἄρα (comp.) m. 2 V. 15. ὥστε] deleo. 23. τόν (alt.)] corr. ex τῶν m. 2 V. ἄρα] om. Vat. 24. περιφέρεια] om. Vat. δή] corr. ex δέ V et m. 2 Vat. 25. Post καί ras. 1 litt. V. Post περιφερείᾳ add. ὧν ἡ ΛΖ τῇ ΖΡ ἐστιν ἴση Vat.

Figuram bis praebet V (in altera 'ὁρίζων' om.). in fig. V at add. arcticum; v. adp. crit. verba figurae inscripta hab. V; item in propp. seqq.

minimis autem *ΓN*, *BT*, aequalibus autem *KH* et *HΠ*, *KN* et *ΠT*, *NΓ* et *TB*.

sint circuli paralleli, per quos puncta *N*, *K*, *Π*, *T* feruntur, *MΞ*, *ΘΛ*, *OP*, *ΣΥ*. et quoniam arcus *HK*, *KN*, *NΓ* inter se aequales sunt, *ZΛ*, *ΛΞ*, *ΞΓ* maiores inter se sunt incipientes a maximo *ZΛ* (Theodos. III, 7). eadem de causa etiam arcus *EΘ*, *ΘM*, *MA* maiores inter se sunt incipientes a maximo *EΘ*, et praeterea *ZP*, *PΥ*, *ΥΛ* maiores inter se sunt incipientes a maximo *ZP*, et praeterea *EO*, *OΣ*, *ΣB* maiores inter se sunt incipientes a maximo *EO*. et quoniam arcus *ΓN*, *NK*, *KH*, *HΠ*, *ΠT*, *TB* in arcubus *ΓΞ*, *ΞΛ*, *ΛZ*, *ZP*, *PΥ*, *ΥΛ* oriuntur et in *AM*, *MΘ*, *ΘE*, *EO*, *OΣ*, *ΣB* occidunt, inaequalibus horizontis segmentis et oriuntur et occidunt. et quoniam in sphaera circuli paralleli *ΘΛ*, *OP* maximi alicuius circuli *ΓB* aequales arcus *ΠH*, *HK* ad maximum parallelorum *EZ* auferunt, circulus *ΘΛ* circulo *OP* aequalis est (ib. II, 17). iamquoniam in sphaera circuli aequales et paralleli *ΘΛ*, *OP* maximi alicuius circuli *ABΓΔ* arcus *ΛZ*, *ZP* ad maximum parallelorum *EZ* auferunt, arcus *ΛZ* arcui *ZP* aequalis est (ib. II, 18). iam similiter demonstrabimus, etiam arcum *ΞZ* arcui



φερείᾳ· λοιπὴ ἄρα ἡ ΞΛ λοιπῇ τῇ ΡΥ ἴση ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΞ ἴση ἐστὶ τῇ ΥΔ.

τὰ ἄρα ζῴδια ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλει τε καὶ δύνει, καὶ ἐν μεγίστοις μὲν τὰ πρὸς τῷ ἰσημερινῷ, ἐν ἐλάσσοσι δὲ τὰ ἑξῆς τούτων, ἐν ἐλαχίστοις δὲ τὰ πρὸς τοῖς τροπικοῖς, ἐν ἴσοις δὲ τὰ ἴσον ἀπέχοντα τοῦ ἰσημερινοῦ κύκλου.

ϑ′.[1])

Τοῦ τῶν ζῳδίων κύκλου τὰ ἡμικύκλια, ὅσα τὰς ἀρχὰς μὴ ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἀνίσοις χρόνοις ἀνατέλλει, καὶ ἐν πλείστῳ μὲν τὸ μετὰ τὸν Καρκίνον, ἐν ἐλάσσονι δὲ τὰ μετὰ αὐτὸν ἑξῆς, ἐν ἐλαχίστῳ δὲ τὸ μετὰ τὸν Αἰγόκερων, ὅταν ὁ βόρειος πόλος ὑπὲρ τὸν ὁρίζοντα ᾖ καὶ ἔτι ὁ μέγιστος τῶν ἀεὶ φανερῶν ἑλάττων ἢ τοῦ θερινοῦ τροπικοῦ· ὅσα δὲ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσῳ χρόνῳ ἀνατέλλει.

Recensio **b**.

ϑ′. Τοῦ τῶν ζῳδίων κύκλου τὰ ἡμικύκλια, ὅσα μὴ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἀνίσοις χρόνοις ἀνατέλλει ὅλα, καὶ ἐν πλείστῳ μὲν τὸ μετὰ τὸν Καρκίνον, ἐν ἐλάσσονι δὲ τὰ ἑξῆς τούτου, ἐν ἐλαχίστοις δὲ τὸ μετὰ τὸν Αἰγόκερω· ὅσα δὲ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσοις χρόνοις ἀνατέλλει.

---

a. 1. *ἐστιν ἴση* Vat. 8. ϑ′] *ι′* v′. 11. *τὸ* V, item lin. 13; *τά* Ll. *μετά*] *κατά* L; *κατά* (*με* m. 1) v′; item lin. 12. 13. *ὅταν* — 15. *τροπικοῦ*] expunctum, sed punctis erasis restitutum V; fort. interpolatum. 13. Post *πόλος* del. *τῶν παραλλήλων* V, om. cett. 14. *καί*] expunctum V. *ὁ*] V, mg. *ὅταν ὁ* m. 2. *ἀεὶ φανερῶν*] in ras. V. *φανερῶν*] comp. l, *φανῶν* Lv′. 15. *ἀρχάς*] supra m. 1 V.

b. 4. *ὅλα*] fort. interpolatum.

ZT aequalem esse. itaque reliquus arcus $\Xi\Delta$ reliquo arcui PT aequalis est. eadem de causa etiam arcus $\Gamma\Xi$ arcui $T\Delta$ aequalis est.

ergo signa inaequalibus segmentis horizontis et oriuntur et occidunt, ac maximis quidem ea, quae ad aequinoctialem sunt, minoribus autem ea, quae haec deinceps sequuntur, minimis autem ea, quae ad tropicos sunt, et aequalibus ea, quae ab aequinoctiali circulo aequali intervallo distant.

IX.

Circuli zodiaci semicirculi, quicumque in eodem circulo parallelo principia non habent, inaequalibus temporibus oriuntur, ac maximo quidem is, qui post Cancrum est, minore autem ii, qui hunc deinceps sequuntur, minimo autem is, qui post Capricornum est, si polus septentrionalis supra horizontem est atque etiam maximus circulorum, qui semper conspicui sunt, minor est tropico aestivo; quicumque autem principia in eodem circulo parallelo habent, aequali tempore oriuntur.


Recensio **b**.

IX. Circuli zodiaci semicirculi, qui in eodem circulo parallelo principia non habent, inaequalibus temporibus toti oriuntur ac maximo quidem is, qui post Cancrum est, minore autem ii, qui hunc deinceps sequuntur, minimis autem is, qui post Capricornum est; quicumque autem principia in eodem circulo parallelo habent, aequalibus temporibus oriuntur.

---

1) In hac propositione cod. V ad cod. Vat. eiusve adfinem a m. 2 correctus est; etiam litterae textus ad figuram pertinentes et ipsius figurae in litteras rec. **b** mutatae sunt; ego priores litteras, quarum magna pars plane evanuit, restitui. L1v′ correctiones manus 2 V in textum receperunt. in figura cod. V pro *N* est *M*; *M* igitur bis usurpatur; verba *τὸ μετὰ* (*μετὰ τά* V) *τὸν αἰγόκερω* et *τὸ μετὰ τὸν καρκίνον* m. 2 V, item *δύσις*. in figg. codd. L1 Z et *N* desunt; in v′ pro *N* est Z, om. *N*.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ $AB\Gamma$, θερινὸς δὲ τροπικὸς ὁ ΔA, χειμερινὸς δὲ τροπικὸς ὁ $E\Gamma$, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν $A\Gamma Z$, καὶ ἔστω τὸ μετὰ τὸν Καρκίνον ἡμικύκλιον ὑπὸ γῆν τὸ $AZ\Gamma$· τὸ δὲ ΓHA ἡμικύκλιον ἔστω τὸ μετὰ τὸν Αἰγόκερων καὶ ἔστω ὑπὲρ γῆς. ἀπειλήφθωσαν δὴ ἴσαι περιφέρειαι αἱ ΓH, ZA, ὥστε εἶναι τὸ Z τῷ H κατὰ διάμετρον, καὶ ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Z, H σημεῖα, οἱ $BZ\Theta$, $KH\Lambda$· τὸ ἄρα M τῷ N κατὰ διάμετρον· λέγω



ἔστω ἐν κόσμῳ ὁρίζων ὁ $AB\Gamma$, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ $A\Delta$, χειμερινὸς δὲ τροπικὸς ὁ $B\Gamma$, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν ΔEBZ, καὶ ἔστω ἀνατολικὰ μὲν τὰ Γ, Δ μέρη, δυτικὰ δὲ τὰ A, B, καὶ τὸ μὲν ΔEB ἔστω τὸ μετὰ τὸν Καρκίνον ἡμικύκλιον, τὸ δὲ $BZ\Delta$ τὸν μετὰ τὸν Αἰγόκερω· λέγω, ὅτι τοῦ τῶν ζῳδίων κύκλου τὰ ἡμικύκλια, ὅσα μὴ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἀνίσοις χρόνοις ἀνατέλλει, καὶ ἐν πλείστῳ μὲν τὸ μετὰ τὸν Καρκίνον τὸ ΔEB, ἐν ἐλάσσονι δὲ τὰ ἐξῆς τούτου, ἐν ἐλα-

a. 3. Supra $A\Gamma Z$ add. m. 2 V secundum rec. **b** lin. 3. *καί* — lin. 4. *A*, *B* (*κείμενον*), in textu cett. *τό*] supra m. 1 L.


b. 1. $AB\Gamma$] add. Δ m. 2 Vat.

sit in mundo horizon $AB\Gamma$, aestivus autem tropicus ΔA, hiemalis autem tropicus $E\Gamma$, zodiacus autem circulus positionem habeat $A\Gamma Z$, et sit semicirculus $AZ\Gamma$, qui post Cancrum est, sub terra; ΓHA autem semicirculus sit post Capricornum et sit supra terram.

iam auferantur arcus aequales ΓH, ZA, ut sit Z puncto H iuxta diametrum oppositum, et sint circuli paralleli, per quos puncta Z, H feruntur, $BZ\Theta$, $KH\Lambda$; punctum M igitur puncto N iuxta diametrum oppositum;

---

sit in mundo horizon $AB\Gamma$, et aestivus tropicus sit $A\Delta$, hiemalis autem tropicus $B\Gamma$, zodiacus autem circulus positionem habeat ΔEBZ, et sint partes orientales Γ, Δ, occidentales autem A, B, et ΔEB sit semicirculus post Cancrum, $BZ\Delta$ autem semicirculus post Capricornum; dico, eos circuli zodiaci semicirculos, qui principia in eodem circulo parallelo non habeant, inaequalibus temporibus oriri ac maximo quidem semicirculum ΔEB, qui post Cancrum est, minore autem eos, qui hunc deinceps sequantur, minimo



---

6. ἔστω corr. ex ἐστί V; item lin. 8. 9. γῆς] γῆν ν′. Post γῆς mg. add. m. 2 V secundum rec. **b** lin. 6 λέγω — p. 48 lin. 2 ἀνατέλλει, in textu cett. 22. Supra $KH\Lambda$ add. m. 2 V secundum rec. **b** p. 48 lin. 6. καί — lin. 8. Z (κείμενον), in textu cett. Post $KH\Lambda$ del. καὶ ἔστω ὅμοι (sic) m. 1 V. λέγω — p. 48 lin. 3. ΓMA] del. m. 2 V, om. cett.

δή, ὅτι ἐν πλείστῳ μὲν χρόνῳ τὸ $AZΓ$ ἡμικύκλιον ἀνατέλλει, ἑξῆς δὲ τὸ $ZΓH$, μετὰ δὲ τοῦτο τὸ $NΓM$, ἐν ἐλαχίστῳ δὲ τὸ $ΓMA$.

ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ ὁμοία ἡ μὲν $ΔA$ περιφέρεια τῆς $BMΘ$, ἡ δὲ $BMΘ$ τῆς $ΛHK$, ἡ δὲ $ΛHK$ τῆς $ΓE$, ἐν πλείονι ἄρα χρόνῳ τὸ A τὴν $AΔ$ περιφέρειαν διαπορεύεται ἤπερ τὸ Z ἀρξάμενον ἀπὸ τοῦ $Θ$ τὴν $ΘMB$ διαπορεύεται, ἐν πλείονι δὲ ἀρξάμενον χρόνῳ τὸ Z ἀπὸ τοῦ $Θ$ τὴν $ΘMB$ διαπορεύεται ἤπερ τὸ N ἀρξάμενον ἀπὸ τοῦ K τὴν $KHΛ$ διαπορεύεται καὶ τὸ N ἀρξάμενον ἀπὸ τοῦ K ἐν πλείονι χρόνῳ τὴν $KHΛ$ διαπορεύεται ἤπερ τὸ $Γ$ ἀρξάμενον ἀπὸ τοῦ $Γ$ τὴν $EΓ$ διαπορεύεται· ἀλλ' ἐν ᾧ μὲν τὸ A ἀρξάμενον ἀπὸ τοῦ A τὴν $AΔ$ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ

χίστῳ δὲ τὸ μετὰ τὸν Αἰγόκερω τὸ $BZΔ$, ὅσα δὲ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσοις χρόνοις ἀνατέλλει.

ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ $ΔE$, BZ καὶ γεγράφθωσαν παράλληλοι κύκλοι οἱ $HEΘM$, $KZΛN$, καθ' ὧν φέρεται τὰ E, Z σημεῖα, καὶ ἔστω αὐτῶν τὰ ὑπὲρ γῆν τμήματα τὰ $HMΘ$, $KZΛ$. ὁμοίως δὴ δείξομεν τοῖς πρότερον, ὅτι κατὰ διάμετρόν ἐστι τὸ μὲν E σημεῖον τῷ Z σημείῳ, τὸ δὲ M τῷ N. καὶ ἐπεὶ μείζων ἐστὶν ἡ ὁμοία ἡ $AΔ$ περιφέρεια τῆς $HMΘ$ περιφερείας, ἡ δὲ $HMΘ$ τῆς $KZΛ$ καὶ ἔτι ἡ $KZΛ$ τῆς $BΓ$, ἐν πλείονι ἄρα χρόνῳ τὸ $Δ$ σημεῖον ἀρξάμενον ἀπὸ τοῦ $Δ$ τὴν $ΔA$ περιφέρειαν διαπορεύεται ἤπερ τὸ E ἀρξάμενον ἀπὸ τοῦ $Θ$ τὴν $ΘMH$ περιφέρειαν διαπορεύεται, καὶ τὸ E ἀρξάμενον ἀπὸ τοῦ $Θ$ ἐν πλείονι χρόνῳ τὴν $ΘMH$ διαπορεύεται ἤπερ τὸ N ἀρξάμενον ἀπὸ τοῦ $Λ$ τὴν $ΛZK$ περιφέρειαν διαπορεύεται, καὶ τὸ N ἀρξάμενον ἀπὸ τοῦ $Λ$ ἐν πλείονι χρόνῳ τὴν $ΛZK$ διαπορεύεται ἤπερ τὸ B ἀρξάμενον ἀπὸ τοῦ $Γ$ τὴν $ΓB$ περιφέρειαν διαπορεύεται. ἀλλὰ ἐν ᾧ μὲν

---

a. 5. $BMΘ$ (utrumque)] B om. v'. 6. Post A supra add. ἀρξάμενον ἀπὸ τοῦ $Δ$ V (m. 2) l, mg. L, in textu v'. 8. δια-

dico igitur, maximo tempore semicirculum $AZ\Gamma$ oriri, deinceps autem $Z\Gamma H$, post hunc autem $N\Gamma M$, minimo autem ΓMA.

nam quoniam maior est quam similis arcus ΔA arcui $BM\Theta$, $BM\Theta$ autem arcui ΛHK, ΛHK autem arcui ΓE, maiore tempore A arcum $A\Delta$ percurrit quam Z exorsum a Θ arcum ΘMB percurrit, maiore autem tempore Z exorsum a Θ arcum ΘMB percurrit quam N exorsum a K arcum $KH\Lambda$ percurrit et N exorsum a K maiore tempore arcum $KH\Lambda$ percurrit quam Γ exorsum a Γ arcum $E\Gamma$ percurrit. verum quo tempore A exorsum ab A arcum $A\Delta$ percurrit, eo Γ iuxta diametrum ei

---

autem $BZ\Delta$, qui post Capricornum est; quicumque autem in eodem circulo parallelo principia habeant, eos aequalibus temporibus oriri.

auferantur aequales arcus ΔE, BZ et describantur circuli paralleli $HE\Theta M$, $KZ\Lambda N$, per quos puncta E, Z feruntur, et sint segmenta eorum super terram $HM\Theta$, $KZ\Lambda$. similiter igitur atque antea demonstrabimus, puncta E, Z et M, N iuxta diametrum opposita esse. et quoniam arcus $A\Delta$ maior est quam similis arcui $HM\Theta$, $HM\Theta$ autem arcui $KZ\Lambda$ et praeterea $KZ\Lambda$ arcui $B\Gamma$ (Theodos. II, 20), maiore tempore punctum Δ exorsum a Δ arcum ΔA percurrit quam E exorsum a Θ arcum ΘMH percurrit et E exorsum a Θ maiore tempore arcum ΘMH percurrit quam N exorsum a Λ arcum ΛZK percurrit et N exorsum a Λ maiore tempore arcum ΛZK percurrit quam B exorsum a Γ arcum

---

πορεύεται] seq.: *ἥπερ τὸ N ἀρξάμενον ἀπὸ τοῦ K τὴν KHΛ διαπορεύεται καὶ ἔτι τὸ N ἀρξάμενον ἀπὸ τοῦ K ἐν πλείονι χρόνῳ* V, sed punctis notatum; om. cett. *ἐν* — 11. *διαπορεύεται*] om. L. 8. *ἀρξάμενον* — Z] *χρόνῳ τὸ Z ἀρξάμενον* ν΄. 10. *τὴν KHΛ διαπορεύεται*] punctis del. V. Ante *τό* 1 litt. (comp.?) macula del. V; post *N* add. *ἄρα* ν΄. 13. *περιφέρειαν*] supra comp. add. V.

---

b. 5. *οἱ*] om. Vat

τὸ Γ ἀρξάμενον ἀπὸ τοῦ Γ τὴν ὑπὸ γῆν διαπορεύεται τοῦ ΓΕ κύκλου καὶ ἀνατέλλει τὸ ΑΖΓ ἡμικύκλιον· ἐν ᾧ δὲ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΒ διαπορεύεται, ἐν τούτῳ καὶ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛΝΚ διαπορεύεται καὶ ἀνατέλλει τὸ ΖΓΗ ἡμικύκλιον· ἐν ᾧ δὲ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Κ τὴν ΚΗΛ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ καὶ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Β τὴν ΒΖΘ περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ ΝΓΜ ἡμικύκλιον· ἐν ᾧ δὲ τὸ Γ ἀρξάμενον ἀπὸ τοῦ Ε τὴν ΕΓ ὑπὲρ γῆν περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Α ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΑ ὑπὸ γῆν περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ ΓΜΑ ἡμικύκλιον. ἐν πλείστῳ μὲν ἄρα χρόνῳ τὸ ΑΖΓ ἀνατέλλει, τουτέστι τὸ μετὰ τὸν Καρκίνον, ἑξῆς δὲ τὸ ΖΓΗ, μετὰ τοῦτο τὸ ΝΓΜ, ἐν ἐλαχίστῳ δὲ τὸ ΓΜΑ, τουτέστι τὸ μετὰ τὸν Αἰγόκερων.

χρόνῳ τὸ Δ σημεῖον τὴν ΔΑ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Β σημεῖον τὴν ἐναλλὰξ τὴν ΒΓ περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ ΔΕΒ ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Ε ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΗ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Κ τὴν ΚΝΛ διαπορεύεται καὶ ἀνατέλλει τὸ ΕΒΖ ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛΖΚ διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Η τὴν ΗΕΘ διαπορεύεται καὶ ἀνατέλλει τὸ ΝΒΜ ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Β ἀρξάμενον ἀπὸ τοῦ Γ τὴν ΓΒ διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Δ ἀρξάμενον ἀπὸ τοῦ Α τὴν ἐναλλὰξ τὴν ΑΔ διαπορεύεται καὶ ἀνατέλλει τὸ ΒΖΔ ἡμι-

---

a. 2. ΑΖΓ] ΑΖΓΔ V. 4. καί] δὲ καί VL1. 8. Β] om. 1 v′ (lac. 1 litt.), Ε L. 11. ΕΓ] Ε sustulit macula in V. ὑπὲρ γῆν] lineola del. m. 2 V, om. cett. Ante τό hab. καί expunctum m. 1 V. 13. ὑπὸ γῆν] del. et supra scr. ἐναλλάξ V

oppositum exorsum a Γ eum arcum circuli ΓE percurrit, qui sub terra est (prop. VI), et semicirculus $AZ\Gamma$ oritur. quo autem tempore Z exorsum a Θ arcum ΘMB percurrit, eo etiam H iuxta diametrum ei oppositum exorsum a Λ arcum ΛNK percurrit, et semicirculus $Z\Gamma H$ oritur. quo autem tempore N exorsum a K arcum $KH\Lambda$ percurrit, eo etiam M iuxta diametrum ei oppositum exorsum a B arcum $BZ\Theta$ percurrit et semicirculus $N\Gamma M$ oritur. quo autem tempore Γ exorsum ab E arcum $E\Gamma$, qui super terram est, percurrit, eo A iuxta diametrum ei oppositum exorsum a Δ arcum ΔA, qui sub terra est, percurrit et semicirculus ΓMA oritur. ergo maximo tempore $AZ\Gamma$, h. e. semicirculus post Cancrum oritur, deinceps autem $Z\Gamma H$, post eum $N\Gamma M$, minimo autem ΓMA, h. e. semicirculus post Capricornum.

ΓB percurrit. verum quo tempore punctum Δ arcum ΔA percurrit, eo punctum B iuxta diametrum ei oppositum alternum arcum $B\Gamma$ percurrit (prop. VI) et semicirculus ΔEB oritur; quo autem tempore E exorsum a Θ arcum ΘMH percurrit, eo Z iuxta diametrum ei oppositum exorsum a K arcum $KN\Lambda$ percurrit et semicirculus EBZ oritur; quo autem tempore N exorsum a Λ arcum ΛZK percurrit, eo M iuxta diametrum ei oppositum exorsum ab H arcum $HE\Theta$ percurrit et semicirculus NBM oritur; quo autem tempore B exorsum a Γ arcum ΓB percurrit, eo Δ iuxta diametrum ei oppositum exorsum ab A alternum arcum $A\Delta$ percurrit et semicirculus $BZ\Delta$ oritur. ergo maximo tem-

---

(m. 2) L; *ἐναλλάξ* in textu 1v′. 14. *χρόνῳ*] supra V1, om. L. 16. *NΓM*] *NΓMH* V, sed lineola del. et supra scr. *ἐν ἐλάσσονι καὶ ἔτι τοῦ EBZ ἐν ἐλάσσονι τὸ NBΔ* m. 2, et ita in textu cett. (*NAΔ* pro *NBΔ* v′); v. p. 52 lin. 2sq. rec. **b**. 17. *ΓMA*] om. L1, lac. 3 litt.

---

b. 6. *KNΛ*] add. *περιφέρειαν* supra m. 2 Vat.

λέγω δέ, ὅτι καὶ ὅσα τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσῳ χρόνῳ ἀνατέλλει.

ἐπεὶ γὰρ ἐν ᾧ τὸ Z ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘMB περιφέρειαν διαπορεύεται, ἐν τούτῳ καὶ τὸ M ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘMB περιφέρειαν διαπορεύεται, ἀλλ' ἐν ᾧ τὸ Z ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘMB διέρχεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ H ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛNK περιφέρειαν διέρχεται καὶ ἀνατέλλει τὸ ZΓH ἡμικύκλιον, [προανατέλλει γὰρ τὸ μὲν Z τοῦ Γ, τὸ δὲ Γ τοῦ H·] ἐν ᾧ δὲ τὸ M ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘMB διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ N ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛNK διέρχεται καὶ ἀνατέλλει τὸ MAN ἡμικύκλιον, [προανατέλλει γὰρ τὸ μὲν M τοῦ Z, τὸ δὲ Z τοῦ N·] τὰ ZΓH, MAN ἄρα ἡμικύκλια ἐν ἴσῳ χρόνῳ ἀνατέλλει.

κύκλιον. ἐν πλείστῳ ἄρα χρόνῳ ἀνατέλλει τὸ μετὰ τὸν Καρκίνον ἡμικύκλιον τὸ ΔEB, ἐν ἐλάσσονι δὲ τοῦ ΔEB τὸ EBZ καὶ ἔτι τοῦ EBZ ἐν ἐλάσσονι τὸ NBM, ἐν ἐλαχίστῳ δὲ τὸ μετὰ τὸν Αἰγόκερω τὸ BZΔ.

λέγω, ὅτι ὅσα τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσοις χρόνοις ἀνατέλλει.

ἐχέτω γὰρ τὰ MΔN, EBZ ἡμικύκλια τὰς ἀρχὰς ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων· λέγω, ὅτι ἐν ἴσοις χρόνοις ἀνατέλλει τὰ MΔN, EBZ ἡμικύκλια.

ἐπεὶ ἐν ἴσῳ χρόνῳ τὸ M σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘMH περιφέρειαν διαπορεύεται καὶ τὸ E ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘMH περιφέρειαν διαπορεύεται, ἀλλ' ἐν ᾧ μὲν χρόνῳ τὸ M σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘMH διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ N ἀρξάμενον ἀπὸ τοῦ K τὴν KNΛ περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ MΔN ἡμικύκλιον, ἐν ᾧ δὲ χρόνῳ τὸ E σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ σημείου τὴν ΘMH περιφέρειαν δια-

---

a. 2. Post *ἀνατέλλει* add. secundum rec. b lin. 7. *ἐχέτω* — 9. *ἡμικύκλια* (*κείμενον*) supra et mg. V, in textu cett. 9. ZΓH]

dico autem, etiam quicumque semicirculi principia in eodem circulo parallelo habeant, eos aequali tempore oriri.

nam quoniam quo tempore *Z* exorsum a *Θ* arcum *ΘMB* percurrit, eo etiam *M* exorsum a *Θ* arcum *ΘMB* percurrit, verum quo tempore *Z* exorsum a *Θ* arcum *ΘMB* percurrit, eo *H* iuxta diametrum ei oppositum. ab *Λ* exorsum arcum *ΛNK* percurrit et semicirculus *ZΓH* oritur, [nam *Z* ante *Γ* oritur, *Γ* autem ante *H*]; quo autem tempore *M* a *Θ* exorsum arcum *ΘMB* percurrit, eo *N* iuxta diametrum ei oppositum ab *Λ* exorsum arcum *ΛNK* percurrit, et semicirculus *MAN* oritur, [nam *M* ante *Z* oritur, *Z* autem ante *N*]; semicirculi *ZΓH*, *MAN* aequali tempore oriuntur.

---

pore semicirculus *ΔEB*, qui post Cancrum est, oritur, minore autem quam *ΔEB* semicirculus *EBZ* et praeterea minore quam *EBZ* semicirculus *NBM*, minimo autem is, qui post Capricornum est, *BZΔ*.

dico, eos semicirculos, qui principia in eodem circulo parallelo habeant, aequalibus temporibus oriri.

nam habeant semicirculi *MΔN*, *EBZ* principia in eodem circulo parallelo; dico, semicirculos *MΔN*, *EBZ* aequalibus temporibus oriri.

quoniam aequali tempore punctum *M* exorsum a *Θ* arcum *ΘMH* percurrit et *E* exorsum a *Θ* arcum *ΘMH* percurrit, verum quo tempore punctum *M* exorsum a *Θ* arcum *ΘMH* percurrit, eo *N* iuxta diametrum ei oppositum exorsum a *K* arcum *KNΛ* percurrit et semicirculus *MΔN* oritur, quo autem tempore punctum *E* exorsum a puncto *Θ* arcum

---

om. L1, lac. 3 litt. *προανατέλλει* — 10. *H* et 13. *προανατέλλει* — 14. *N*] lineolis del. V, om. cett., interpolata sunt. 10. *M*] om. L1, lac. 1 litt. 14. *τά* — 15. *ἡμικύκλια*] del. et supra *ἐν* add. *ἄρα* (comp.), mg. *τὰ MΛN, EBZ ἡμικύκλια* (*κείμενον*) V, et ita in textu cett.

---

b. 10. *ἐπεί*] add. *γάρ* m. 2 Vat.

τοῦ ἄρα τῶν ζῳδίων κύκλου τὰ ἡμικύκλια, ὅσα τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσῳ χρόνῳ ἀνατέλλει.

ι΄.

Ἐὰν τοῦ τῶν ζῳδίων κύκλου δύο ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατέλλῃ κοινήν τινα ἔχοντα περιφέρειαν, καὶ αἱ ἀπεναντίον περιφέρειαι ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσιν, καὶ ἡ αὐτὴ διαφορὰ ἔσται τῶν χρόνων, ἐν οἷς τά τε ἡμικύκλια ἀνατέλλει καὶ αἱ ἀπεναντίον περιφέρειαι ἀνατέλλουσιν· καὶ ἐὰν τοῦ τῶν ζῳδίων κύκλου δύο ἡμικύκλια ἐν ἴσῳ χρόνῳ ἀνατέλλῃ κοινήν τινα ἔχοντα περιφέρειαν, καὶ αἱ ἀπεναντίον περιφέρειαι ἐν ἴσῳ χρόνῳ ἀνατέλλουσιν.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ $AB\Gamma$, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν $AE\Gamma\Delta$, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ $A\Delta$, ΓE· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ Δ τῷ E. τὰ δὲ $A\Delta\Gamma$, $\Delta\Gamma E$ ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατελλέτω· λέγω, ὅτι καὶ αἱ ἀπεναντίον περιφέρειαι αἱ $A\Delta$, ΓE ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσι καὶ

πορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Z ἀρξάμενον ἀπὸ τοῦ K τὴν $KN\Lambda$ περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ EBZ ἡμικύκλιον, ἐν ἴσῳ ἄρα χρόνῳ ἀνατέλλει τὰ $M\Delta N$, EBZ ἡμικύκλια.

---

4. ι΄] ια΄ ν΄. 6. ἀνατέλλῃ] post ἡμικύκλια (lin. 5) scr. Vat. 7. ἀπεναντίων V. ἀνατέλλουσι V, ut lin. 13. 8. ἡ — ἔσται] αἱ αὐταὶ διαφοραὶ ἔσονται Vat. 10. ἀνατέλλουσιν] om. Vat.


Recensio b.

p. 54, 14 sqq. ἔστω κύκλος ὁρίζων ὁ $AB\Delta\Gamma$, καὶ θερινὸς μὲν τροπικὸς ὁ $A\Gamma$, χειμερινὸς δὲ ὁ $B\Delta$, ζῳδιακὸς δὲ ὁ ΓB, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΓE, BZ· τὰ ἄρα

ergo circuli zodiaci semicirculi, quicumque principia in eodem circulo parallelo habent, aequali tempore oriuntur.

X.

Si duo circuli zodiaci semicirculi communem aliquem habentes arcum inaequalibus temporibus oriuntur, etiam arcus oppositi inaequalibus temporibus oriuntur et eadem differentia erit temporum, quibus et semicirculi et arcus oppositi oriuntur; et si duo circuli zodiaci semicirculi communem aliquem habentes arcum aequali tempore oriuntur, etiam arcus oppositi aequali tempore oriuntur.



sit in mundo horizon $AB\Gamma$, zodiacus autem circulus positionem habeat $AE\Gamma\Delta$, et auferantur aequales arcus $A\Delta$, ΓE iuxta diametrum igitur oppositum est punctum Δ puncto E. iam semicirculi $A\Delta\Gamma$, $\Delta\Gamma E$ inaequalibus temporibus oriuntur; dico, etiam arcus oppositos $A\Delta$, ΓE inaequalibus tem-

---

ΘMH percurrit, eo Z iuxta diametrum ei oppositum exorsum a K arcum $KN\Lambda$ percurrit et semicirculus EBZ oritur, aequali tempore semicirculi $M\Delta N$, EBZ oriuntur.

---

11. *ἐν ἴσοις χρόνοις* Vat., ut lin. 12. *ἔχοντα*] *-τα* corr. ex *των* m. 2 V 14. *ζῳδίων*] corr. ex *ζῳδιακῶν* m. 1 V. 17. *ἀνίσοις*] *ἀν-* add. supra m. 2 V, ut p. 56 lin. 4 et 7 (*ἀνίσῳ*).

Recensio b.

sit circulus horizon $AB\Delta\Gamma$ et aestivus tropicus $A\Gamma$, hiemalis autem $B\Delta$ et zodiacus ΓB, et auferantur aequales arcus $l E$, BZ. itaque semicirculi ΓEB, EBZ inaequalibus

ἡ αὐτὴ διαφορά ἐστι τῶν χρόνων, ἐν οἷς τὰ $A\Delta\Gamma$, $\Delta\Gamma E$ ἡμικύκλια ἀνατέλλει καὶ ἐν οἷς αἱ $A\Delta$, ΓE περιφέρειαι ἀνατέλλουσιν.

ἐπεὶ γὰρ τὰ $A\Delta\Gamma$, $\Delta\Gamma E$ ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατέλλει, κοινὸς ἀφῃρήσθω ὁ τῆς $\Delta\Gamma$ ἀνατολῆς χρόνος· (ἡ γὰρ $\Delta\Gamma$ περιφέρεια ἑαυτῇ ἀεὶ ἐν ἴσῳ χρόνῳ ἀνατέλλει)· λοιπαὶ ἄρα αἱ $A\Delta$, ΓE περιφέρειαι ἐν ἀνίσῳ χρόνῳ ἀνατέλλουσι καὶ αἱ αὐταὶ διαφοραί εἰσι τῶν χρόνων, ἐν οἷς τά τε $A\Delta\Gamma$, $\Delta\Gamma E$ ἡμικύκλια ἀνατέλλει καὶ αἱ ἀπεναντίον περιφέρειαι αἱ $A\Delta$, ΓE. πάλιν δὴ τὰ $A\Delta\Gamma$, $\Delta\Gamma E$ ἡμικύκλια ἐν ἴσῳ χρόνῳ ἀνατέλλει· κοινὸς ἀφῃρήσθω ὁ τῆς $\Gamma\Delta$ περιφερείας χρόνος· λοιπαὶ ἄρα αἱ $A\Delta$, ΓE ἐν ἴσῳ χρόνῳ ἀνατέλλουσιν.

ΓEB, EBZ ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατέλλει· λέγω, ὅτι καὶ αἱ ΓE, BZ περιφέρειαι ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσιν.

ἐπεὶ γὰρ τὸ ΓEB τοῦ EBZ ἐν πλείονι χρόνῳ ἀνατέλλει, κοινὸς ἀφῃρήσθω ὁ τῆς EB περιφερείας ἀνατολῆς χρόνος· ἡ γὰρ EB περιφέρεια ἑαυτῇ ἀεὶ ἐν ἴσῳ χρόνῳ ἀνατέλλει· λοιπὴ ἄρα ἡ ΓE τῆς BZ ἐν πλείονι χρόνῳ ἀνατέλλει, καὶ φανερόν, ὅτι αἱ αὐταὶ διαφοραί εἰσι τῶν χρόνων, ἐν οἷς τά τε ΓEB, EBZ ἡμικύκλια ἀνατέλλει καὶ αἱ ἀπεναντίον περιφέρειαι αἱ ΓE, BZ. φανερὸν δέ, ὅτι, κἂν ἡμικυκλιά τινα ἐν ἴσοις χρόνοις ἀνατέλλῃ, καὶ αἱ ἀπεναντίον περιφέρειαι ἐν ἴσοις χρόνοις ἀνατέλλουσιν.

---

a. 1. Δ (alt.)] mg. add. m. 2 V. 3. *ἀνατέλλουσι* V, ut lin. 13. 6. *ἡ* — 7. *ἀνατέλλει*] fort. interpolata.

---

b. 6. *ἡ* — *ἀνατέλλει*] fort. interpolata. 8. *αἱ αὐταί*] corr. ex *αὐταὶ αἱ* m. 2 Vat.


poribus oriri et eandem differentiam temporum esse, quibus semicirculi $A\Delta\Gamma$, $\Delta\Gamma E$ oriantur et quibus arcus $A\Delta$, ΓE oriantur.

nam quoniam semicirculi $A\Delta\Gamma$, $\Delta\Gamma E$ inaequalibus temporibus oriuntur, commune auferatur tempus ortus arcus $\Delta\Gamma$; arcus $\Delta\Gamma$ enim semper aequali tempore oritur. itaque reliqui arcus $A\Delta$, ΓE inaequali tempore oriuntur et eaedem differentiae sunt temporum, quibus semicirculi $A\Delta\Gamma$, $\Delta\Gamma E$ et arcus oppositi $A\Delta$, ΓE oriuntur. iam rursus semicirculi $A\Delta\Gamma$, $\Delta\Gamma E$ aequali tempore oriuntur; commune auferatur tempus arcus $\Gamma\Delta$. ergo $A\Delta$, ΓE aequali tempore oriuntur.

---

temporibus oriuntur (prop. IX); dico, etiam arcus ΓE, BZ inaequalibus temporibus oriri.

nam quoniam ΓEB maiore tempore oritur quam EBZ, commune auferatur tempus ortus arcus EB (nam arcus EB semper aequali tempore oritur). itaque reliquus arcus ΓE maiore tempore oritur quam BZ, et adparet, easdem differentias esse temporum, quibus et semicirculi ΓEB, EBZ et arcus oppositi ΓE, BZ oriantur. manifestum est autem, si aliqui semicirculi aequalibus temporibus oriantur, etiam arcus oppositos aequalibus temporibus oriri.



ια΄.

Τοῦ τῶν ζῳδίων κύκλου τῶν ἴσων τε καὶ ἀπεναντίον περιφερειῶν ἐν ᾧ χρόνῳ ἡ ἑτέρα ἀνατέλλει, ἡ ἑτέρα δύνει, καὶ ἐν ᾧ χρόνῳ ἡ ἑτέρα δύνει, ἡ ἑτέρα ἀνατέλλει.

ἔστω καθ' οὗ φέρεται τὸ Μ σημεῖον παράλληλος κύκλος ὁ ΝΜΞ· ἴση ἄρα ἐστὶν ἡ ΚΜ τῇ ΟΗ. καὶ ἐπεὶ ἔγγιόν ἐστιν ἡ ΟΗ τῆς συναφῆς τοῦ θερινοῦ τροπικοῦ ἤπερ ἡ ΗΖ, ἐν πλείονι ἄρα χρόνῳ ἡ ΟΗ δύνει ἤπερ ἡ ΗΖ. ἐν ᾧ δὲ χρόνῳ ἡ ΟΗ δύνει, ἡ ΜΚ ἀνατέλλει· ἐν πλείονι ἄρα χρόνῳ ἡ ΜΚ ἀνατέλλει ἤπερ ἡ ΗΖ δύνει. κοινὸς προσκείσθω ὁ χρόνος, ἐν ᾧ ἡ ΜΕΗ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· ἐν πλείονι ἄρα χρόνῳ ἡ ΚΕΗ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΜΕΖ.

129. *Ἐκ περισσοῦ. τῶν αὐτῶν ὑποκειμένων ἀπει-*

---


129. M^3 qs.

---

26. *ΜΕΗ*] *Η* in ras. m. 2 Vat. 28. *ἤπερ ἡ ΜΕΖ*] add. m. 2 Vat.

λήφθωσαν ἴσαι τε καὶ ἀπεναντίον περιφέρειαι αἱ ZH, ΘK, καὶ ἔστω ἡ ZH ἔγγιον τῆς συναφῆς τοῦ θερινοῦ τροπικοῦ ἤπερ ἡ ΘK· λέγω, ὅτι ἐν πλείονι χρόνῳ ἡ ZH ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΘK.

ἐπεὶ γὰρ ἡ ZH ἔγγιόν ἐστι τῆς συναφῆς τοῦ θερινοῦ τροπικοῦ ἤπερ ἡ ΘK, μείζων ἐστὶν ἡ ΘE τῆς EZ. κείσθω τῇ μὲν ZE ἴση ἡ $E\Lambda$, τῇ δὲ ZH ἴση ἡ ΛM. ἐπεὶ οὖν αἱ ΛM, ZH ἴσον ἀπέχουσι τῆς συναφῆς τοῦ θερινοῦ, ἐν ᾧ χρόνῳ ἡ ΛM ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον, ἐν τούτῳ καὶ ἡ ZH [prop. XIV]. ἐν πλείονι δὲ χρόνῳ ἡ ΛM ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΘK. ἐν πλείονι ἄρα χρόνῳ καὶ ἡ ZH ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΘK.



Ad prop. XV demonstr. alt.

130. Ad p. 130,16] διὰ τὸ ι′ καὶ θ′ τοῦ β′ τῶν Σφαιρικῶν καὶ τῶν ἀξιωμάτων, ἐὰν ἀπὸ τῶν ἴσων ἴσα ἀφέλῃς.

130. M^3qs.

12. Post θερινοῦ add. τροπικοῦ m. 2 Vat.

SECTIO CANONIS

Εἰ ἡσυχία εἴη καὶ ἀκινησία, σιωπὴ ἂν εἴη· σιωπῆς δὲ οὔσης καὶ μηδενὸς κινουμένου οὐδὲν ἂν ἀκούοιτο· εἰ ἄρα μέλλει τι ἀκουσθήσεσθαι, πληγὴν καὶ κίνησιν πρότερον δεῖ γενέσθαι. ὥστε, ἐπειδὴ πάντες οἱ φθόγγοι γίνονται πληγῆς τινος γινομένης, πληγὴν δὲ ἀμήχανον γενέσθαι μὴ οὐχὶ κινήσεως πρότερον γενομένης, — τῶν δὲ κινήσεων αἱ μὲν πυκνότεραί εἰσιν, αἱ δὲ ἀραιότεραι, καὶ αἱ μὲν πυκνότεραι ὀξυτέρους ποιοῦσι τοὺς φθόγγους, αἱ δὲ ἀραιότεραι βαρυτέρους, — ἀναγκαῖον τοὺς μὲν ὀξυτέρους εἶναι, ἐπείπερ ἐκ πυκνοτέρων καὶ πλειόνων σύγκεινται κινήσεων, τοὺς δὲ βαρυτέρους, ἐπείπερ ἐξ ἀραιοτέρων καὶ ἐλασσόνων σύγκεινται κινήσεων. ὥστε τοὺς μὲν ὀξυτέρους τοῦ δέοντος ἀνιεμένους ἀφαιρέσει κινήσεως τυγχάνειν τοῦ δέοντος, τοὺς δὲ βαρυτέρους ἐπιτεινομένους προσθέσει κινήσεως τυγχάνειν τοῦ δέοντος. διόπερ ἐκ μορίων τοὺς φθόγγους συγκεῖσθαι φατέον, ἐπειδὴ προσθέσει καὶ ἀφαιρέσει τυγχάνουσι τοῦ δέοντος. πάντα δὲ τὰ ἐκ μορίων συγκείμενα ἀριθμοῦ λόγῳ λέγεται πρὸς ἄλληλα, ὥστε καὶ τοὺς φθόγγους ἀναγκαῖον ἐν ἀριθμοῦ λόγῳ λέγεσθαι πρὸς ἀλλήλους· τῶν δὲ ἀριθμῶν οἱ μὲν ἐν πολλαπλασίῳ λόγῳ λέγονται, οἱ δὲ ἐν ἐπιμορίῳ, οἱ δὲ ἐν ἐπιμερεῖ, ὥστε καὶ τοὺς φθόγγους ἀναγκαῖον ἐν τοῖς τοιούτοις λόγοις λέγεσθαι πρὸς ἀλλήλους. τούτων δὲ οἱ μὲν πολλαπλάσιοι καὶ ἐπιμόριοι ἑνὶ ὀνόματι λέγονται πρὸς ἀλλήλους.

Γινώσκομεν δὲ καὶ τῶν φθόγγων τοὺς μὲν συμφώνους ὄντας, τοὺς δὲ διαφώνους, καὶ τοὺς μὲν συμφώνους μίαν κρᾶσιν τὴν ἐξ ἀμφοῖν ποιοῦντας, τοὺς δὲ διαφώνους οὔ. τούτων οὕτως ἐχόντων εἰκὸς τοὺς συμφώνους

Εὐκλείδου κατατομὴ κανόνος M, m. 2 W.

Si quies sit et immobilitas, silentium sit; sin autem silentium sit nec quidquam moveatur, nihil audiatur; quocirca si quid audiri debet, ictum necesse est et motum antea fieri. itaque, quoniam omnes soni fiunt, cum aliquis ictus fit, ictus autem fieri non potest, nisi motus antea factus est, — motuum autem alii crebriores sunt, alii rariores atque crebriores acutiores efficiunt sonos. rariores vero graviores — alios necesse est acutiores esse, quoniam quidem ex crebrioribus et pluribus motibus sunt compositi, alios graviores, quoniam ex rarioribus et paucioribus motibus sunt compositi. itaque ii, qui iusto acutiores sunt, cum laxantur, motus detractione iustum consequuntur, ii vero, qui graviores sunt, cum intenduntur, motus adiectione iustum consequuntur. quamobrem dicendum est, ex particulis sonos esse compositos, quoniam adiectione et detractione iustum consequuntur. omnia autem, quae ex particulis sunt composita, numeri ratione inter se esse dicuntur, ita ut sit necesse sonos quoque numeri ratione inter se esse dici; numerorum autem alii in multiplici ratione dicuntur, alii in superparticulari, alii in superpartiente, ita ut sit necesse etiam sonos in talibus rationibus inter se esse dici. ex his multiplices et superparticulares uno nomine inter se nuncupantur.

Cognoscimus etiam, sonorum alios esse consonos, alios dissonos, et consonos quidem unam temperationem ex ambobus efficere, dissonos vero non item. quae cum

---

11. A *κινήσεων* ad l. 12 *κινήσεων* aberravit M¹. addit mg. M². 13. *ἀνειμένους* W. 14. *κινήσεων* codd. 15. *προθέσει* M¹, item lin. 17. 21. *π.πλασίοι* M. 23. *λόγοις*] supra scr. M². 28. *κρᾶσιν*] *πρᾶξιν* W. 29. *οὔ*] M² in ras. *ἐχόντων οὕτως* W.

φθόγγους, ἐπειδὴ μίαν τὴν ἐξ ἀμφοῖν ποιοῦνται κρᾶσιν τῆς φωνῆς, εἶναι τῶν ἐν ἑνὶ ὀνόματι πρὸς ἀλλήλους λεγομένων ἀριθμῶν, ἤτοι πολλαπλασίους ὄντας ἢ ἐπιμορίους.

α′.

Ἐὰν διάστημα πολλαπλάσιον δὶς συντεθὲν ποιῇ τι διάστημα, καὶ αὐτὸ πολλαπλάσιον ἔσται.

ἔστω διάστημα τὸ ΒΓ, καὶ ἔστω πολλαπλάσιος ὁ Β τοῦ Γ, καὶ γεγενήσθω, ὡς ὁ Γ πρὸς τὸν Β, ὁ Β πρὸς τὸν Δ· φημὶ δὴ τὸν Δ τοῦ Γ πολλαπλάσιον εἶναι. ἐπεὶ γὰρ ὁ Β τοῦ Γ πολλαπλάσιός ἐστι, μετρεῖ ἄρα ὁ Γ τὸν Β. ἦν δὲ καὶ ὡς ὁ Γ πρὸς τὸν Β, ὁ Γ πρὸς τὸν Δ, ὥστε μετρεῖ ὁ Γ καὶ τὸν Δ. πολλαπλάσιος ἄρα ἐστὶν ὁ Δ τοῦ Γ.

β′.

Ἐὰν διάστημα δὶς συντεθὲν τὸ ὅλον ποιῇ πολλαπλάσιον, καὶ αὐτὸ ἔσται πολλαπλάσιον.



ἔστω διάστημα τὸ ΒΓ, καὶ γεγενήσθω, ὡς ὁ Γ πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Δ, καὶ ἔστω ὁ Δ τοῦ Γ πολλα-

---

Numeros, quibus singulae protases distinguantur, omittit M¹, asteriscis et numeris Graecis notat M².

Figuram habent M¹W in protasi III. (exstat enim p. 162,3 post *μέσοι* in M, post *διαστήματος* in W linea tripartita cum litteris *γ*, *β*, *δ*. in M *μέσοι* in ras., post *πλείονς* rasura.) simile diagramma atque ad prot. I M², numeri tamen *ις*, *η*, *δ*.


---

8. *π.πλάσιος ὁ*] Porph., *π.πλάσιον τό*] codd. 9. *τόν* (pr.)] *τό* M. *τόν* (alt.)] *τό* W. 10. *π.πλάσιον* M. 12. *μετρεῖ*] *καὶ* add. codd. *Γ καὶ τὸν*] Porph., *Γ///τὸν* M, *Γ πρὸς τὸν* W.

15. *συντεθὲν τό*] M², *συντεθῇ* γ — β — δ — *ὅθεν τό* M¹W. *ποιεῖ* W. *ποιῇ πολλα* δ — η — ις — *πλάσιον* M.

ita sint, consentaneum est, consonos sonos, quoniam unam ex ambobus efficiant vocis temperationem, ex iis esse numeris, qui uno nomine inter se nuncupentur, sive multiplices sint sive superparticulares.

I.



Si intervallum multiplex bis compositum intervallum aliquod effecerit, et ipsum multiplex erit.

sit intervallum $B\Gamma$, et sit B multiplex numeri Γ, et factum sit $\Gamma : B = B : \Delta$; iam dico, Δ numeri Γ esse duplicem. nam quoniam B numeri Γ multiplex est, Γ numerum B metitur. verum erat etiam $\Gamma : B = B : \Delta$, ita ut Γ etiam Δ metiatur. ergo multiplex est Δ numeri Γ.

II.

Si intervallum bis compositum totum effecerit multiplex, et ipsum erit multiplex.

sit intervallum $B\Gamma$ et factum sit $\Gamma : B = B : \Delta$, et sit Δ


Diagrammatum veterum lineis ad horizontem directis neglegenter pictorum (qualia vides ad prot. II) exigua exstant vestigia in MW p. 160, 15—17. 162, 12, 17. 164, 1, 17. 170, 18. quae reiecta esse solent ad posteriores protases. — Novas ascripsit figuras M^2 marg., quarum lineae ad perpendiculum sunt directae (v. fig. I. III sqq.). neglecta tamen M^2 vera longitudine lineas omnes exaequavit. diligentius veram linearum mensuram observant N et Par. 2535. — Exstat hoc diagramma suo loco in M^2 mg. aliud habent diagramma una linea ad horizontem porrecta numerisque 4, 8, 16 signata M^1W inter verba prot. II.

πλάσιος· φημὶ καὶ τὸν B τοῦ $Γ$ εἶναι πολλαπλάσιον. ἐπεὶ γὰρ ὁ $Δ$ τοῦ $Γ$ πολλαπλάσιός ἐστι, μετρεῖ ἄρα ὁ $Γ$ τὸν $Δ$. ἐμάθομεν δέ, ὅτι, ἐὰν ὦσιν ἀριθμοὶ ἀνάλογον ὁποσοιοῦν, ὁ δὲ πρῶτος τὸν ἔσχατον μετρῇ, καὶ τοὺς μεταξὺ μετρήσει. μετρεῖ ἄρα ὁ $Γ$ τὸν B· πολλαπλάσιος ἄρα ὁ B τοῦ $Γ$.

γ′.

Ἐπιμορίου διαστήματος οὐδεὶς μέσος, οὔτε εἷς οὔτε πλείους, ἀνάλογον ἐμπεσεῖται ἀριθμός.

ἔστω γὰρ ἐπιμόριον διάστημα τὸ $BΓ$· ἐλάχιστοι δὲ ἐν τῷ αὐτῷ λόγῳ τοῖς $B, Γ$ ἔστωσαν οἱ $ΔZ, Θ$. οὗτοι οὖν ὑπὸ μονάδος μόνης μετροῦνται κοινοῦ μέτρου. ἄφελε ἴσον τῷ $Θ$ τὸν HZ. καὶ ἐπεὶ ἐπιμόριός ἐστιν ὁ $ΔZ$ τοῦ $Θ$, ἡ ὑπεροχὴ ὁ $ΔH$ κοινὸν μέτρον τοῦ τε $ΔZ$ καὶ τοῦ $Θ$ ἐστί· μονὰς ἄρα ὁ $ΔH$· οὐκ ἄρα ἐμπεσεῖται εἰς τοὺς $ΔZ, Θ$ μέσος οὐδείς. ἔσται γὰρ ὁ ἐμπίπτων τοῦ $ΔZ$ ἐλάττων, τοῦ δὲ $Θ$ μείζων, ὥστε τὴν μονάδα διαιρεῖσθαι, ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐμπεσεῖται εἰς τοὺς $ΔZ, Θ$ τις. ὅσοι δὲ εἰς τοὺς ἐλαχίστους μέσοι ἀνάλογον ἐμπίπτουσι, τοσοῦτοι καὶ εἰς τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἀνάλογον ἐμπεσοῦνται. οὐδεὶς δὲ εἰς τοὺς $ΔZ, Θ$ ἐμπεσεῖται, οὐδὲ εἰς τοὺς $B, Γ$ ἐμπεσεῖται.



3. ἐμάθομεν. haec quidem verba in Euclidis elementis non inveniuntur (cf. Heiberg, litterargesch. Studien über Euklid, S. 53). Habes tamen in El. VIII, 7 haec: ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ [ἐξῆς] ἀνάλογον, ὁ δὲ πρῶτος τὸν ἔσχατον μετρῇ, καὶ τὸν δεύτερον μετρήσει. ex quibus etiam quae hoc loco demonstraturus est Euclides facillime sequuntur.

1. φημὶ δή M^4. 2. $Γ$ (alt.)] B W. 3. ἐμάθομεν] W et Porph., ἔμαθον cett. Post ἀριθμοί add. ἐφεξῆς M^5 mg. 4. πρῶτος corr. M. μετρῇ] B, μετρεῖ cett. 7. οὐδεὶς μέσος W, μέσοι

numeri Γ multiplex. dico, etiam B numeri Γ esse multiplicem. nam quoniam Δ numeri Γ multiplex est, Γ numerum Δ metitur. verum didicimus, si quotlibet numeri proportionales sint et primus ultimum metiatur, eum etiam medios mensurum esse. metitur igitur Γ numerum B. ergo B multiplex numeri Γ.

III.

Superparticularis intervalli nullus mediuš numerus neque unus proportionaliter incidet neque plures.

nam sit superparticulare intervallum $B\Gamma$; minimi autem in eadem ratione ac B, Γ sint ΔZ, Θ. hos igitur unitas sola communis mensura metitur. aufer numero Θ aequalem HZ. et quoniam ΔZ superparticularis est numeri Θ, excessus ΔH communis mensura numerorum ΔZ et Θ est; unitas igitur ΔH; itaque incidet in ΔZ, Θ nullus numerus medius. nam erit is, qui incidit, minor quam ΔZ, maior vero quam Θ, ita ut unitas dividatur, quod fieri non potest. itaque nullus medius incidet in ΔZ, Θ. quot autem in minimos medii proportionaliter incidunt, totidem etiam in eos, qui eandem rationem habent, proportionaliter incident. nullus autem in ΔZ, Θ incidet, ac ne in $B\Gamma$ quidem incidet.

Fig. prop. III est ad protasin II in N, similis, sed in duas partes discerpta ad prot. III in M^2; exigua exstant figurae vestigia in M^1. addit autem N lineis ΔZ, Θ rationes Δ, Γ et parti ΔH numerum α, lineas B, Γ idem signat numeris η, ς. etiam M^2 habet illas numerorum rationes, nisi quod ponit lin. $B : \Gamma = \iota\beta : \vartheta$, et lineae HZ dat numerum γ.

οὔτε in ras. M. 8. *ἐμπεσεῖται*] W et Porph., *ἐμπεσοῦνται* cett. 9. *BΓ*] Porph., *B τοῦ Γ* codd. 10. *ἐν*] N, perfossum in M., *ἐπί* W. 12. *ιβ ιγ* (reliquiae figurae) post *μόνης* M^1, post *μετροῦνται* W. 13. Post *τὸν* ras. et *HZ καὶ ἐπίλοιπον μονᵘᵛ* i. e. *μονάς* M^3. *καὶ ἐπεί*] W, om. cett. 14. Post *ἐστιν* add. *ἄρα* M^2. 15. *ΔH*] *Δ* W. Post *καί* ins. *ιδ̃ ιξ̃ ιϑ̃* ex fig. W. 16. *ὁ ΔH*] *ἡ ΔH* M, *ἡ Δ* W. 21. *ΔZ, Θ*] *ΔΘZ* W. 25. *οὐδέ* — 26. *ἐμπεσεῖται*] om. W.

δ΄.

Ἐὰν διάστημα μὴ πολλαπλάσιον δὶς συντεθῇ, τὸ ὅλον οὔτε πολλαπλάσιον ἔσται οὔτε ἐπιμόριον.

ἔστω γὰρ διάστημα μὴ πολλαπλάσιον τὸ ΒΓ, καὶ γεγενήσθω, ὡς ὁ Γ πρὸς τὸν Β, ὁ Β πρὸς τὸν Δ· λέγω, ὅτι ὁ Δ τοῦ Γ οὔτε πολλαπλάσιος οὔτε ἐπιμόριός ἐστιν. ἔστω γὰρ πρῶτον ὁ Δ τοῦ Γ πολλαπλάσιος. οὐκοῦν ἐμάθομεν, ὅτι, ἐὰν διάστημα δὶς συντεθὲν τὸ ὅλον ποιῇ πολλαπλάσιον, καὶ αὐτὸ πολλαπλάσιόν ἐστιν. ἔσται ἄρα ὁ Β τοῦ Γ πολλαπλάσιος. οὐκ ἦν δέ. ἀδύνατον ἄρα τὸν Δ τοῦ Γ εἶναι πολλαπλάσιον. ἀλλὰ μὴν οὐδ' ἐπιμόριον. ἐπιμορίου γὰρ διαστήματος μέσος οὐδεὶς ἀνάλογον ἐμπίπτει. εἰς δὲ τοὺς Δ, Γ ἐμπίπτει ὁ Β. ἀδύνατον ἄρα τὸν Δ τοῦ Γ ἢ πολλαπλάσιον ἢ ἐπιμόριον εἶναι.

ε΄.

Ἐὰν διάστημα δὶς συντεθὲν τὸ ὅλον μὴ ποιῇ πολλαπλάσιον, οὐδ' αὐτὸ ἔσται πολλαπλάσιον.


ἔστω γὰρ διάστημα τὸ ΒΓ, καὶ γεγενήσθω ὡς ὁ Γ πρὸς τὸν Β, ὁ Β πρὸς τὸν Δ, καὶ μὴ ἔστω ὁ Δ τοῦ Γ πολλαπλάσιος· λέγω, ὅτι οὐδὲ ὁ Β τοῦ Γ ἔσται πολλαπλάσιος. εἰ γάρ ἐστιν ὁ Β τοῦ Γ πολλαπλάσιος, ἔσται ἄρα ὁ Δ τοῦ Γ πολλαπλάσιος. οὐκ ἔστι δέ. οὐκ ἄρα ὁ Β τοῦ Γ ἔσται πολλαπλάσιος.

---

2. *μή*] supra scr. M². *μὴ πολλαπλάσιον*] om. W. 3. Post *οὔτε* (pr.) hab. *πολλαπλα* supra M. 8. *ποιεῖ* W. 10. *τόν*] *τό* codd. 13. *Δ, Γ*] N, in ras. M, add. *Θ* W. *τόν*] ὁ codd. 14. *π.πλάσιος* et *ἐπιμόριος* codd. 17. *πολλαπλάσιον γ | β | δ* M¹. M² repetit fig. prop. IV.

IV.

Si intervallum non multiplex bis componitur, totum neque multiplex erit neque superparticulare.



nam sit intervallum non multiplex $B\Gamma$, et factum sit $\Gamma : B = B : \Delta$; dico, Δ numeri Γ neque multiplicem neque superparticularem esse. nam sit primum Δ numeri Γ multiplex. didicimus igitur, si intervallum bis compositum totum efficiat multiplex, id et ipsum esse multiplex [prop. II]. quare B erit numeri Γ multiplex. at non erat. itaque fieri non potest, ut Δ numeri Γ sit multiplex. sed ne superparticulare quidem. nam superparticularis intervalli nullus medius numerus proportionaliter incidit [prop. III]. verum in Δ, Γ incidit B. ergo fieri non potest, ut Δ numeri Γ aut multiplex sit aut superparticularis.

V.



Si intervallum bis compositum totum non efficiat multiplex, ne ipsum quidem erit multiplex.

nam sit intervallum $B\Gamma$, et factum sit $\Gamma : B = B : \Delta$, et sit Δ numeri Γ non multiplex; dico, ne B quidem numeri Γ fore multiplicem. nam si B numeri Γ est multiplex, erit Δ numeri Γ multiplex. at non est. ergo B numeri Γ non erit multiplex.

---

2. Post *δὶς συντεθῇ* M¹ hanc habet figuram falsis numeris ornatam:

ϛ δ β
| Γ | B | Δ

cui addit M² in margine figuram veriorem ex aequalibus lineis et ipsam compositam, veris tamen numeris instructam.

ς′.

Τὸ διπλάσιον διάστημα ἐκ δυο τῶν μεγίστων ἐπιμορίων συνέστηκεν, ἔκ τε τοῦ ἡμιολίου καὶ ἐκ τοῦ ἐπιτρίτου.

ἔστω γὰρ ὁ μὲν ΒΓ τοῦ ΔΖ ἡμιόλιος, ὁ δὲ ΔΖ τοῦ Θ ἐπίτριτος· φημὶ τὸν ΒΓ τοῦ Θ διπλάσιον εἶναι. ἀφεῖλον γὰρ ἴσον τῷ Θ τὸν ΖΚ καὶ τῷ ΔΖ τὸν ΓΛ. οὐκοῦν ἐπεὶ ὁ ΒΓ τοῦ ΔΖ ἡμιόλιος, ὁ ΒΛ ἄρα τοῦ ΒΓ τρίτον μέρος ἐστίν, τοῦ δὲ ΔΖ ἥμισυ. πάλιν ἐπεὶ ὁ ΔΖ τοῦ Θ ἐπίτριτός ἐστιν, ὁ ΔΚ τοῦ μὲν ΔΖ τεταρτημόριον, τοῦ δὲ Θ τριτημόριον. οὐκοῦν ἐπεὶ ὁ ΔΚ τοῦ ΔΖ ἐστι τεταρτημόριον, ὁ δὲ ΒΛ τοῦ ΔΖ ἥμισυ, τοῦ ἄρα ΒΛ ἥμισυ ἔσται ὁ ΔΚ. ἦν δὲ ὁ ΒΛ τοῦ ΒΓ τρίτον μέρος· ὁ ἄρα ΔΚ τοῦ ΒΓ ἕκτον μέρος ἐστίν. ἦν δὲ ὁ ΔΚ τοῦ Θ τρίτον μέρος· ὁ ἄρα ΒΓ τοῦ Θ διπλάσιός ἐστιν.

Ἄλλως.

Ἔστω γὰρ ὁ μὲν Α τοῦ Β ἡμιόλιος, ὁ δὲ Β τοῦ Γ ἐπίτριτος· λέγω, ὅτι ὁ Α τοῦ Γ ἐστι διπλάσιος.

Ἐπεὶ γὰρ ἡμιόλιός ἐστιν ὁ Α τοῦ Β, ὁ Α ἄρα ἔχει τὸν Β καὶ τὸ ἥμισυ αὐτοῦ. δύο ἄρα οἱ Α ἴσοι εἰσὶ τρισὶ τοῖς Β. πάλιν ἐπεὶ ὁ Β τοῦ Γ ἐστιν ἐπίτριτος, ὁ Β ἄρα ἔχει τὸν Γ καὶ τὸ τρίτον αὐτοῦ. τρεῖς ἄρα οἱ Β ἴσοι εἰσὶ τέτταρσι τοῖς Γ. τρεῖς δὲ οἱ Β ἴσοι εἰσὶ δυσὶ τοῖς Α. δύο ἄρα οἱ Α ἴσοι εἰσὶ τέτταρσι τοῖς Γ. ὁ ἄρα Α ἴσος ἐστὶ δυσὶ τοῖς Γ· διπλάσιος ἄρα ἐστὶν ὁ Α τοῦ Γ.



2. *δύο*] om. M^1W. 3. *ἔκ τε τοῦ τρίτου καὶ ἡμιολίου* W. 6. *ΖΚ*] M^3, Ζ M^1, *β* W. *ΓΛ*] M^3W, *Γ* M^1. 7. Post *ἡμιόλιος* add. *καὶ ἐκ τοῦ τριπλοῦ καὶ ἐπιτρίτου τὸ τετραπλάσιον ὁμοίως δείκνυται καὶ ἐκ τοῦ τετραπλοῦ καὶ ἐπιτετάρτου τὸ πενταπλοῦν καὶ ἀεὶ ὁμοίως* M^1W (prim. *καί* om.), perfodit M^2. 9. *ἐστιν*] *ἔσται* W. *ΔΚ*] M^3, *Δ* M^1W, item lin 12 et 13. *τεταρτημόριόν ἐστι* M^3. 11. *ΒΛ*] (utrumque) M^4, *Β* M^1; item lin. 12. 12. *ΒΓ* (pr.)] *Β* W. 18. *ὁ Α* (alt)] om. M^1W. 19. *τὸν ἥμισυν* MW. 20. *Α*] supra scr. M^2, om. W. *τοῖς Β τρισί* W.

VI.

Duplum intervallum ex duobus maximis superparticularibus constat, et ex sesquealtero et ex sesquetertio.



nam sit $B\Gamma$ dimidia parte maior quam ΔZ, ΔZ autem tertia parte maior quam Θ; dico, $B\Gamma$ duplo maiorem esse quam Θ. nam abstuli ZK aequalem numero Θ et $\Gamma\Lambda$ numero ΔZ. quoniam igitur $B\Gamma$ dimidia parte maior est quam ΔZ, $B\Lambda$ numeri $B\Gamma$ tertia pars est, numeri ΔZ vero dimidia. rursus quoniam ΔZ tertia parte maior est quam Θ, ΔK numeri ΔZ quarta pars est, numeri Θ vero tertia. quoniam igitur ΔK numeri ΔZ quarta pars est, $B\Lambda$ vero numeri ΔZ dimidia, numeri $B\Lambda$ dimidia erit ΔK. verum erat $B\Lambda$ numeri $B\Gamma$ tertia pars. itaque ΔK numeri $B\Gamma$ sexta pars est. verum erat ΔK numeri Θ tertia pars. ergo $B\Gamma$ duplo maior est quam Θ.

Aliter.

nam sit A dimidia parte maior quam B, B autem tertia parte maior quam Γ. dico, A duplo maiorem esse quam Γ.

nam quoniam A dimidia parte maior est quam B, A numerum B continet eiusque dimidium. quare $2A = 3B$. rursus quoniam B tertia parte maior est quam Γ, B numerum Γ continet et tertiam eius partem. quare $3B = 4\Gamma$. verum $3B = 2A$. quare $2A = 4\Gamma$. itaque $A = 2\Gamma$. ergo A duplo maior est quam Γ.

In figura prop. VI M plures habet litteras (scriptas manu 3); sunt enim in prima linea partes indicatae Δ et H (hoc bis scr.), in altera linea inter Δ et K scriptum e (i. e. β). in M¹W nulla figurae vestigia.


---

21. Γ (pr.)] M²W, *τρίτου* M¹. 22. *εἰσιν ἴσοι* W. 23. Γ] $A\Gamma$ W. *δυσί*] Meibom, *δύο* codd. 25. *ὁ ἄρα A*] Vat. 221, *ἄρα ὁ A* cett., Peua, Meibom, Jan.

ζ'.

Ἐκ τοῦ διπλασίου διαστήματος καὶ ἡμιολίου τριπλάσιον διάστημα γίνεται.

ἔστω γὰρ ὁ μὲν A τοῦ B διπλάσιος, ὁ δὲ B τοῦ Γ ἡμιόλιος· λέγω, ὅτι ὁ A τοῦ Γ ἐστι τριπλάσιος.



ἐπεὶ γὰρ ὁ A τοῦ B ἐστι διπλάσιος, ὁ A ἄρα ἴσος ἐστὶ δυσὶ τοῖς B. πάλιν ἐπεὶ ὁ B τοῦ Γ ἐστιν ἡμιόλιος, ὁ B ἄρα ἔχει τὸν Γ καὶ τὸ ἥμισυ αὐτοῦ. δύο ἄρα οἱ B ἴσοι εἰσὶ τρισὶ τοῖς Γ. δύο δὲ οἱ B ἴσοι εἰσὶ τῷ A. καὶ ὁ A ἄρα ἴσος ἐστὶ τρισὶ τοῖς Γ. τριπλάσιος ἄρα ἐστὶν ὁ A τοῦ Γ.

η'.

Ἐὰν ἀπὸ ἡμιολίου διαστήματος ἐπίτριτον διάστημα ἀφαιρεθῇ, τὸ λοιπὸν καταλείπεται ἐπόγδοον.

ἔστω γὰρ ὁ μὲν A τοῦ B ἡμιόλιος, ὁ δὲ Γ τοῦ B ἐπίτριτος· λέγω, ὅτι ὁ A τοῦ Γ ἐστὶν ἐπόγδοος.

ἐπεὶ γὰρ ὁ A τοῦ B ἐστιν ἡμιόλιος, ὁ A ἄρα ἔχει τὸν B καὶ τὸ ἥμισυ αὐτοῦ. ὀκτὼ ἄρα οἱ A ἴσοι εἰσὶ δώδεκα τοῖς B. πάλιν ἐπεὶ ὁ Γ τοῦ B ἐστὶν ἐπίτριτος, ὁ Γ ἄρα ἔχει τὸν B καὶ τὸ τρίτον αὐτοῦ. ἐννέα ἄρα οἱ Γ ἴσοι εἰσὶ δώδεκα τοῖς B, δώδεκα δὲ οἱ B ἴσοι εἰσὶν ὀκτὼ τοῖς A· ὀκτὼ ἄρα οἱ A ἴσοι εἰσὶν ἐννέα τοῖς Γ. ὁ A ἄρα ἴσος ἐστὶ τῷ Γ καὶ τῷ ὀγδόῳ αὐτοῦ· ὁ A ἄρα τοῦ Γ ἐστιν ἐπόγδοος.

---

5. ὁ] om. W. 8. *A ἄρα*] W, *ἄρα A* M², *A* om. M¹. 9. *ὁ B ἄρα*] *ἄρα ὁ B* codd., Pena, Meibom, Ian. 10. *τὸν ἥμισον* W. 11. *δύο* — 12. *Γ*] om. W. 11. *A*] add. M². 16. *ἐπόγδοον*] M², *τὸ ὄγδοον* W. 17. *ὁ* (alt.) — 19. *ἡμιόλιος*] om. W. 17. *Γ*] M², *τρίτος* M¹. *B*] M² in ras. 19. *ὁ ἄρα A* M¹. 20. *A*] *Δ* W. *δωδεκάτοις B* W. 21. *τοῖς B*] in ras. M². 22. *οἱ Γ*] supra scr. M². 23. *δώδεκα* (alt.) — 24. *τοῖς A*] om. W. 23. *δέ*] M³. 24. *A* (pr. et alt.)] *Δ* M¹. *Γ*] in

VII.

Ex intervallo duplo et sesquealtero intervallum fit triplum.

nam sit A duplo maior quam B, B autem dimidia parte maior quam Γ; dico, A triplo maiorem esse quam Γ.

nam quoniam A duplo maior est quam B, est $A = 2B$. rursus quoniam B dimidia parte maior est quam Γ, B numerum Γ continet et eius dimidium. quare $2B = 3\Gamma$. verum $2B = A$. itaque etiam $A = 3\Gamma$. ergo A triplo maior est quam Γ.

VIII.

Si ab intervallo sesquealtero intervallum sesquetertium aufertur, quod relinquitur, sesqueoctavum est.



nam sit A dimidia parte maior quam B, Γ autem tertia parte maior quam B; dico, A octava parte maiorem esse quam Γ.

nam quoniam A dimidia parte maior est quam B, A numerum B continet et eius dimidium. quare $8A = 12B$. rursus quoniam Γ tertia parte maior est quam B, Γ numerum B continet et tertiam eius partem. quare $9\Gamma = 12B$; sed $12B = 8A$; quare $8A = 9\Gamma$. itaque A aequalis est numero Γ et octavae eius parti. ergo A octava parte maior est quam Γ.

Ad figuram prop. VIII M² habet ascriptos hos numeros:

ϑ	ϛ	η
η	ιβ	ϑ
οβ	οβ	οβ

(ϑ ϛ η medias ad lineas, η ιβ ϑ imum ad finem positos).

---

ras. M², *B* W. *A* (tert.)] supra scr. M². 25. ὁ *A* ἄρα] Vat. 221 (Pena, Meibom), ἄρα ὁ *A* cett. Ian. ἐπόγδοός ἐστιν W.

ϑ′.

Τὰ ἓξ ἐπόγδοα διαστήματα μείζονά ἐστι διαστήματος ἑνὸς διπλασίου.

ἔστω γὰρ εἷς ἀριθμὸς ὁ A. καὶ τοῦ μὲν A ἐπόγδοος ἔστω ὁ B, τοῦ δὲ B ἐπόγδοος ὁ Γ, τοῦ δὲ Γ ἐπόγδοος ὁ Δ, τοῦ δὲ Δ ἐπόγδοος ὁ E, τοῦ E ἐπόγδοος ὁ Z, τοῦ Z ἐπόγδοος ὁ H· λέγω, ὅτι ὁ H τοῦ A μείζων ἐστὶν ἢ διπλάσιος.

ἐπεὶ ἐμάθομεν εὑρεῖν ἑπτὰ ἀριθμοὺς ἐπογδόους ἀλλήλων, εὑρήσθωσαν οἱ A, B, Γ, Δ, E, Z, H, καὶ γίνεται

ὁ μὲν A ϰϛ μύρια ͵βρμδ,

ὁ δὲ B ϰθ μύρια ͵δ↑ιβ,

ὁ δὲ Γ λγ μύρια ͵αψοϛ,

ὁ δὲ Δ λξ μύρια ͵γσμη,

ὁ δὲ E μα μύρια ͵θ↑δ,

ὁ δὲ Z μξ μύρια ͵βτ↑ιβ,

ὁ δὲ H νγ μύρια ͵αυμα, καί ἐστιν ὁ H τοῦ A μείζων ἢ διπλάσιος.

ι′.

Τὸ διὰ πασῶν διάστημά ἐστι πολλαπλάσιον.

ἔστω γὰρ νήτη μὲν ὑπερβολαίων ὁ A, μέση δὲ ὁ B, προσλαμβανόμενος δὲ ὁ Γ. τὸ ἄρα A Γ διάστημα δὶς διὰ πασῶν ὄν ἐστι σύμφωνον. ἤτοι οὖν ἐπιμόριόν ἐστιν ἢ πολλαπλάσιον. ἐπιμόριον μὲν οὐκ ἔστιν· ἐπιμορίου γὰρ διαστήματος μέσος οὐδεὶς ἀνάλογον ἐμπίπτει· πολλαπλάσιον ἄρα ἐστίν. ἐπεὶ οὖν δύο ⟨ἴσα⟩ διαστήματα τὰ AB, BΓ συντεθέντα ποιεῖ πολλαπλάσιον τὸ ὅλον, καὶ τὸ AB ἄρα ἐστὶ πολλαπλάσιον.

---

2. *ἐστι*] *εἰσι* W. 9. Post *ἀριθμούς* add. *ἐφεξῆς* M³.
11. $\overset{\varkappa\varsigma}{M}$ codd., item in seqq. (*ϰϛ* M²). 12. ↑] ↑ M; item lin. 15, *τ* W. 13. *λγ* et *α* add. M². 14. Numeros add. M². 15. *μα*] M². ↑] *ψ* W. *αυ*] M². 18. *διπλάσιος*] *α*|*β*|*γ*|*δ*|*ε*|*ζ*|*η* add M¹, *ι̃α ι̃β ι̃γ ι̃δ ι̃ε ι̃ζ ι̃η* W. 23. *ὄν*] M⁴, *ὢν* M¹. *ἤ*] *ἡ* M. 26. *ἴσα*] Meibom, om. codd. *τά*] om. W. 28. *ἐστί* — p. 178 lin. 10 *τρίτη*] om. W; mg. m. 2 *λείπει ὧδε.*

IX.


Sex intervalla sesqueoctava maiora sunt uno intervallo duplo.

nam sit unus numerus *A*. et numero *A* octava parte maior sit *B*, numero autem *B* octava parte maior *Γ*, numero *Γ* octava parte maior *Δ*, numero *Δ* octava parte maior *E*, numero *E* octava parte maior *Z*, numero *Z* octava parte maior *H*. dico, esse $H > 2A$.

quoniam didicimus septem invenire numeros octonis inter se partibus maiores, inventi sint numeri *A*, *B*, *Γ*, *Δ*, *E*, *Z*, *H*, et fit $A = 262144$;

B 294912,
Γ 331776,
Δ 373248,
E 419904,
Z 472392,
H 531441, et est $H > 2A$.

X.



Diapason intervallum est multiplex.

nam sit nete hyperbolaeon *A*, mese autem *B*, proslambanomenos vero *Γ*. *AΓ* igitur intervallum, quod est bis diapason, consonans est. itaque aut superparticulare est aut multiplex. superparticulare non est; nam superparticularis intervalli nullus medius numerus proportionaliter incidit [prop. III]; quare multiplex est. iam quoniam duo intervalla aequalia *AB*, *BΓ* composita totum efficiunt multiplex [prop. II], etiam *AB* multiplex est.

---

9. Heiberg l. c. comparat El. VIII, 2: *ἀριθμοὺς εὑρεῖν ἐξῆς ἀνάλογον ἐλαχίστους, ὅσους ἂν ἐπιτάξῃ τις, ἐν τῷ δοθέντι λόγῳ.*
18. Fig. $\alpha \mid \beta \mid \gamma \mid \delta \mid \varepsilon \mid \zeta \mid \eta$ M^1.
20. Fig. habet N, sine numeris M^2.

ια΄.

Τὸ διὰ τεσσάρων διάστημα καὶ τὸ διὰ πέντε ἑκάτερον ἐπιμόριόν ἐστιν.

ἔστω γὰρ νήτη μὲν συνημμένων ὁ *A*, μέση δὲ ὁ *B*, ὑπάτη δὲ μέσων ὁ Γ. τὸ ἄρα *AΓ* διάστημα δὶς διὰ τεσσάρων ὅν ἐστι διάφωνον· οὐκ ἄρα ἐστὶ πολλαπλάσιον. ἐπεὶ οὖν δύο διαστήματα ἴσα τὰ *AB*, *BΓ* συντεθέντα τὸ ὅλον μὴ ποιεῖ πολλαπλάσιον, οὐδὲ ἄρα τὸ *AB* ἐστι πολλαπλάσιον. καί ἐστι σύμφωνον· ἐπιμόριον ἄρα. ἡ αὐτὴ δὲ ἀπόδειξις καὶ ἐπὶ τοῦ διὰ πέντε.

ιβ΄.

Τὸ διὰ πασῶν διάστημά ἐστι διπλάσιον.

ἐδείξαμεν γὰρ αὐτὸ πολλαπλάσιον. οὐκοῦν ἤτοι διπλάσιόν ἐστιν — ἢ μεῖζον ἢ διπλάσιον. ἀλλ' ἐπεὶ ἐδείξαμεν τὸ διπλάσιον διάστημα ἐκ δύο τῶν μεγίστων ἐπιμορίων συγκείμενον, ὥστε, εἰ ἔσται τὸ διὰ πασῶν μεῖζον διπλασίου, οὐ συγκείσεται ἐκ δύο μόνων ἐπιμορίων, ἀλλ' ἐκ πλειόνων, — σύγκειται δὲ ἐκ δύο συμφώνων διαστημάτων, ἔκ τε τοῦ διὰ πέντε καὶ τοῦ διὰ τεσσάρων, οὐκ ἄρα ἔσται τὸ διὰ πασῶν μεῖζον διπλασίου. διπλάσιον ἄρα.


ἀλλ' ἐπειδὴ τὸ διὰ πασῶν ἐστι διπλάσιον, τὸ δὲ διπλάσιον ἐκ τῶν μεγίστων ἐπιμορίων δύο συνέστηκε, καὶ τὸ διὰ πασῶν ἄρα ἐξ ἡμιολίου καὶ ἐπιτρίτου συνέστηκε· ταῦτα γὰρ μέγιστα. συνέστηκε δὲ ἐκ τοῦ διὰ πέντε καὶ ἐκ τοῦ διὰ τεσσάρων, ὄντων ἐπιμορίων· τὸ μὲν ἄρα διὰ πέντε, ἐπειδὴ μεῖζόν ἐστιν, ἡμιόλιον ἂν εἴη, τὸ δὲ διὰ τεσσάρων ἐπίτριτον.

---

1. ια΄] V, ιβ΄ M², nec iam sequuntur protaseon numeri in codd. 5. δίς] supra scr. M². 6. ὅν] M² ex ὥν. 13. αὐτό] αὐτῶ M. 25. δέ] Porph., γάρ codd. Post ἔκ insert. τε M⁴.

XI.

Diatessaron intervallum et diapente utrumque superparticulare est.



nam sit nete synemmenon *A*, mese autem *B*, hypate vero meson *Γ*. *AΓ* igitur intervallum, quod est bis diatessaron, dissonans est; quare non est multiplex. iam quoniam duo intervalla aequalia *AB*, *BΓ* composita totum non efficiunt multiplex [prop. V], ne *AB* quidem multiplex est. et est consonans; ergo superparticulare. eadem demonstratio est etiam in diapente.

XII.

Diapason intervallum duplum est.

nam demonstravimus, multiplex id esse [prop. X]. Itaque aut duplum est aut maius quam duplum. verum quoniam demonstravimus, intervallum duplum ex duobus maximis superparticularibus constare [prop. VI], ita ut, si diapason maius erit quam duplum, non constet ex duobus solis superparticularibus, sed ex pluribus, — constat vero ex duobus intervallis consonantibus, ex diapente et diatessaron, diapason non erit maius quam duplum, ergo duplum.

sed quoniam diapason duplum est, intervallum autem duplum ex duobus maximis superparticularibus constat [prop. VI], etiam diapason ex intervallis sesquealtero et sesquetertio constat, nam haec maxima sunt, constat autem ex diapente et diatessaron, quae sunt superparticularia [prop. XI]. ergo diapente, quia est maius, sesquealterum est, diatessaron vero sesquetertium.

φανερὸν δή, ὅτι καὶ τὸ διὰ πέντε καὶ διὰ πασῶν τριπλάσιόν ἐστιν. ἐδείξαμεν γάρ, ὅτι ἐκ διπλασίου διαστήματος καὶ ἡμιολίου τριπλάσιον διάστημα γίνεται, ὥστε καὶ τὸ διὰ πασῶν καὶ τὸ διὰ πέντε τριπλάσιον.

τὸ δὲ δὶς διὰ πασῶν τετραπλάσιόν ἐστιν.

ἀποδέδεικται ἄρα τῶν συμφώνων ἕκαστον, ἐν τίσι λόγοις ἔχει τοὺς περιέχοντας φθόγγους πρὸς ἀλλήλους.

ιγ΄.

Λοιπὸν δὴ περὶ τοῦ τονιαίου διαστήματος διελθεῖν, ὅτι ἐστὶν ἐπόγδοον.

ἐμάθομεν γάρ, ὅτι, ἐὰν ἀπὸ ἡμιολίου διαστήματος ἐπίτριτον διάστημα ἀφαιρεθῇ, τὸ λοιπὸν καταλείπεται ἐπόγδοον. ἐὰν δὲ ἀπὸ τοῦ διὰ πέντε τὸ διὰ τεσσάρων ἀφαιρεθῇ, τὸ λοιπὸν τονιαῖόν ἐστι διάστημα· τὸ ἄρα τονιαῖον διάστημά ἐστιν ἐπόγδοον.

ιδ΄.

Τὸ διὰ πασῶν ἔλαττον ἢ ἓξ τόνων.

δέδεικται γὰρ τὸ μὲν διὰ πασῶν διπλάσιον, ὁ δὲ τόνος ἐπόγδοος· τὰ δὲ ἓξ ἐπόγδοα διαστήματα μείζονα διαστήματός [ἐστι] διπλασίου. τὸ ἄρα διὰ πασῶν ἔλαττόν ἐστιν ἓξ τόνων.

ιε΄.

Τὸ διὰ τεσσάρων ἔλαττον δύο τόνων καὶ ἡμιτονίου, καὶ τὸ διὰ πέντε ἔλαττον τριῶν τόνων καὶ ἡμιτονίου.

ἔστω γὰρ νήτη μὲν διεζευγμένων ὁ *B*, παραμέση δὲ ὁ *Γ*, μέση δὲ ὁ *Δ*, ὑπάτη δὲ μέσων ὁ *Z*. οὐκοῦν τὸ μὲν

---

6. Post ἄρα add. ὅτι M². ἕκαστον] ex ἕκτον corr. M². 7. λόγοις] -οις om. in fine lin. M. 9. δή] B, δεῖ M. 10. ἐπόγδοον] δ in ras. M. 11. ἐάν] ἐὰν μέν in ras. M³. 17. Post ἔλαττον add. ἐστιν M³.

iam manifestum est, et etiam diapente et diapason triplum esse. demonstravimus enim, ex intervallo duplo et sesquealtero intervallum fieri triplum [prop. VII], ita ut etiam diapason et diapente sit triplum.

disdiapason quadruplum.

ergo demonstratum est, singula consonantia intervalla in quibus rationibus sonos, quibus continentur, inter se habeant.

XIII.


Iam restat, ut de toniaeo intervallo disseramus, esse sesqueoctavum.

nam didicimus, si ab intervallo sesquealtero intervallum sesquetertium auferatur, quod relinquitur, sesqueoctavum esse [prop. VIII]. verum si a diapente diatessaron auferatur, quod relinquitur, toniaeum est intervallum. ergo toniaeum intervallum sesqueoctavum est.

XIV.

diapason minus est quam sex tonorum.

nam demonstratum est, diapason duplum esse [prop. XII], tonum vero sesqueoctavum [prop. XIII]. verum sex intervalla sesqueoctava intervallo duplo sunt maiora [prop. IX]. ergo diapason minus est sex tonis.



XV.

Diatessaron minus est duobus tonis semitonioque et diapente minus est tribus tonis semitonioque.

nam sit nete diezeugmenon *B*, paramese autem *Γ*, mese autem *Δ*, hypate

---

Lineae fig. in M² aequales sunt; numeri desunt.

ΓΔ διάστημα τόνος ἐστὶ, τὸ δὲ BZ, διὰ πασῶν ὄν, ἔλαττον ἓξ τόνων. τὰ λοιπὰ ἄρα, τό τε BΓ καὶ τὸ ΔZ ἴσα ὄντα ἐλάττονά ἐστι πέντε τόνων. ὥστε τὸ ἐν τῷ BΓ ἔλαττον δύο τόνων καὶ ἡμιτονίου, ὅ ἐστι διὰ τεσσάρων, τὸ δὲ BΔ ἔλαττον τριῶν τόνων καὶ ἡμιτονίου, ὅ ἐστι διὰ πέντε.


ις'.

Ὁ τόνος οὐ διαιρεθήσεται εἰς δύο ἴσα οὔτε εἰς πλείω.

ἐδείχθη γὰρ ὢν ἐπιμόριος· ἐπιμορίου δὲ διαστήματος μέσοι οὔτε πλείους οὔτε εἷς ἀνάλογον ἐμπίπτουσιν. οὐκ ἄρα διαιρεθήσεται ὁ τόνος εἰς ἴσα.

ιζ'.

Αἱ παρανῆται καὶ αἱ λιχανοὶ ληφθήσονται διὰ συμφωνίας οὕτως. ἔστω γὰρ μέση ὁ B. ἐπιτετάσθω διὰ τεσσάρων ἐπὶ τὸ Γ, καὶ ἀπὸ τοῦ Γ ἀνείσθω διὰ πέντε ἐπὶ τὸ Δ. τόνος ἄρα ὁ BΔ. πάλιν δὲ ἀπὸ τοῦ Δ διὰ τεσσάρων ἐπιτετάσθω ἐπὶ τὸ E, καὶ ἀπὸ τοῦ E ἀνείσθω ἐπὶ τὸ Z διὰ πέντε. τόνος ἄρα τὸ ZΔ. δίτονος ἄρα τὸ ZB. λιχανὸς ἄρα τὸ Z. ὁμοίως ἂν καὶ αἱ παρανῆται ληφθήσονται.



ιη'.

Αἱ παρυπάται καὶ αἱ τρίται οὐ διαιροῦσι τὸ πυκνὸν εἰς ἴσα.

---

1. *ἔλαττον*] add. *ἐστὶν* M⁴ supra. 4. *ὅ*] *ὅν* M⁴, item lin. 5. 8. *ἴσα*] Jan, *ἴσους* codd. (cf. lin. 26). *πλείω*] Porph., *πλείους* codd. 9. *ὤν*] M⁴, *ὅν* M¹. 10. *μέσοι*] N, om. M. 18. *Δ*] M³, *τέταρτον* M¹. 21. *ZΔ*] M³, Z M¹. *δίτονος*] M⁵, *διάτονος* M¹.

vero meson Z. quare intervallum $\Gamma\Delta$ tonus est, BZ vero, quod est diapason, minus sex tonis [prop. XIV]. itaque reliqua intervalla, et $B\Gamma$ et ΔZ, quae sunt aequalia, minora sunt quinque tonis. ergo id, quod in $B\Gamma$ est, minus est duobus tonis semitonioque, quod est diatessaron, $B\Delta$ vero minus tribus tonis semitonioque, quod est diapente.

XVI.

Tonus non dividetur in duas partes aequales neque in plures.

nam demonstratum est, eum esse superparticularem. verum superparticularis intervalli medii numeri neque plures neque unus proportionaliter incidunt [prop. III]. ergo tonus in partes aequales non dividetur.

XVII.


Paranetae et lichani sumentur per consonantiam ita.

nam sit mese B. intendatur diatessaron ad Γ et a Γ remittatur diapente ad Δ. itaque tonus est $B\Delta$. rursus autem a Δ diatessaron intendatur ad E, et ab E remittatur ad Z diapente. itaque tonus est $Z\Delta$. ditonus igitur ZB; ergo lichanos Z. eadem ratione etiam paranetae sumentur.

XVIII.

Parhypatae et tritae non dividunt spissum in partes aequales.

Fig. prop. XVII hab. N.′ *τόν*. add. Jan. M haec habet diagrammatis vestigia:




ἑστω γὰρ μέση μὲν ὁ *B*, λιχανὸς δὲ ὁ *Γ*, ὑπάτη δὲ ὁ *Δ*. ἀνείσθω ἀπὸ τοῦ *B* διὰ πέντε ἐπὶ τὸ *Z*. τόνος ἄρα ὁ *ZΔ*. καὶ ἀπὸ τοῦ *Z* διὰ τεσσάρων ἐπιτετάσθω ἐπὶ τὸ *E*. τόνος ἐστὶν ἄρα τὸ *ZΔ* διάστημα καὶ τὸ *BE*. κοινὸν προσκείσθω τὸ *ΔΓ*. τὸ ἄρα *ZE* ἴσον ἐστὶ τῷ *ΔB*. διὰ τεσσάρων δὲ τὸ *ZE*· οὐκ ἄρα μέσος ἀνάλογον ἐμπίπτει τις τῶν *ZE*· ἐπιμόριον γὰρ τὸ διάστημα. καί ἐστιν ἴσος ὁ *ΔB* τῷ *ZE*· οὐκ ἄρα τοῦ *ΔΓ* μέσος ἐμπεσεῖται, ὅ ἐστιν ἀπὸ ὑπάτης ἐπὶ λιχανόν. οὐκ ἄρα ἡ παρυπάτη διελεῖ τὸ πυκνὸν εἰς ἴσα. ὁμοίως οὐδὲ ἡ τρίτη.

ιθ′.


Τὸν κανόνα καταγράψαι κατὰ τὸ καλούμενον ἀμετάβολον σύστημα.

ἔστω τοῦ κανόνος μῆκος, ὃ καὶ τῆς χορδῆς, τὸ *AB*, καὶ διῃρήσθω εἰς τέσσαρα ἴσα κατὰ τὰ *Γ*, *Δ*, *E*. ἔσται ἄρα ὁ *BA* βαρύτατος ὢν φθόγγος βόμβυξ. οὗτος δὲ ὁ *AB* τοῦ *ΓB* ἐπίτριτός ἐστιν, ὥστε ὁ *ΓB* τῷ *AB* συμφωνήσει διὰ τεσσάρων ἐπὶ τὴν ὀξύτητα. καί ἐστιν ὁ *AB* προσλαμβανόμενος· ὁ ἄρα *ΓB* ἔσται ὑπάτων διάτονος. πάλιν ἐπεὶ ὁ *AB* τοῦ *BΔ* ἐστι διπλοῦς, συμφωνήσει τῇ διὰ πα-



4. *καὶ*] supra add. M². *BE*] Jan, *ΓE* codd. *προσκείσθω*] Meib., *προκείσθω* codd. 5. *ZE*] Jan, *ZΓ* codd. *ΔB*] Jan, *ΔE* codd. 7. *ἐπιμόριον*] M², *ἐπιμόριος* M¹. 8. *ΔB τῷ ZE*] Jan, *ΔZ τῷ ΓE* add. 15. *διῃρήσθω*] *διαιρείσθω* W. *κατά*] om. W. 16. *ὅν*] M³W, *ὃν* M¹. 18. Ante *διά* add. *τῇ* M⁵. 19. *ΓB*] *BΓ* W. *ὑπάτων*] M¹, *ὑπατῶν* M³W. *καὶ πάλιν* W. 20. *διπλοῦς*] *διπλάσιος* M³.

nam sit mese B, lichanos autem Γ, hypate vero Δ. intendatur AB diapente ad Z. itaque tonus est $Z\Delta$. et a Z diatessaron intendatur ad E. itaque tonus est $Z\Delta$ intervallum et BE. commune adiciatur $\Delta\Gamma$. itaque est $ZE = \Delta B$. verum diatessaron ZE. quare nullus medius numerus in ZE proportionaliter incidit. superparticulare est enim intervallum. et est $\Delta B = ZE$. quare medius in $\Delta\Gamma$ non incidet, quod est ab hypate ad lichanum. ergo parhypate spissum in partes aequales non dividet. eadem ratione ne trite quidem.



XIX.

Canona designare secundum systema immutabile, quod vocatur.

sit canonis longitudo, quae eadem est chordae, AB, et dividatur in quattuor partes aequales in punctis Γ, Δ, E. erit igitur BA, cum gravissimus sit tonus, bombyx. hic autem AB triplo maior est quam ΓB, ita ut ΓB cum AB consonet diatessaron ad acumen. et est AB proslambanomenos. itaque ΓB erit hypaton diatonos. rursus, quoniam $AB = 2B\Delta$, consonabit cum diapason et erit





Fig. prop. XVIII hab. N; in M^2:



21. Diagramma hab. M^2 mg., sed *παραμέση* K et *νήτη συν.* Z perverse mutaverunt locos.

σῶν καὶ ἔσται ὁ ΒΔ μέση. πάλιν ἐπεὶ τετραπλάσιός ἐστιν ὁ ΑΒ τοῦ ΕΒ, ἔσται ὁ ΕΒ νήτη ὑπερβολαίων. ἔτεμον τὸν ΓΒ δίχα κατὰ τὸ Ζ. καὶ ἔσται διπλάσιος ὁ ΓΒ τοῦ ΖΒ, ὥστε συμφωνεῖν τὸν ΓΒ πρὸς τὸν ΖΒ διὰ πασῶν· ὥστε εἶναι τὸν ΖΒ νήτην συνημμένων. ἀπέλαβον τοῦ ΔΒ τρίτον μέρος τὸ ΔΗ. καὶ ἔσται ἡμιόλιος ὁ ΔΒ τοῦ ΗΒ, ὥστε συμφωνήσει ὁ ΔΒ πρὸς τὸν ΗΒ ἐν τῷ διὰ πέντε· ὁ ἄρα ΗΒ νήτη ἔσται διεζευγμένων. ἔθηκα τῷ ΗΒ ἴσον τὸν ΗΘ, ὥστε ὁ ΘΒ πρὸς τὸν ΗΒ συμφωνήσει διὰ πασῶν, ὡς εἶναι τὸν ΘΒ ὑπάτην μέσων. ἔλαβον τοῦ ΘΒ τρίτον μέρος τὸ ΘΚ. καὶ ἔσται ἡμιόλιος ὁ ΘΒ τοῦ ΚΒ, ὥστε εἶναι τὸν ΚΒ παράμεσον. ἀπέλαβον τῷ ΚΒ ἴσον τὸν ΛΚ καὶ γενήσεται ὁ ΛΒ ὑπάτη βαρεῖα. ἔσονται ἄρα εἰλημμένοι ἐν τῷ κανόνι πάντες οἱ ⟨ἑστῶτες⟩ φθόγγοι τοῦ ἀμεταβόλου συστήματος.

κ΄.

Λοιπὸν δὴ τοὺς φερομένους λαβεῖν.

ἔτεμον τὸν ΕΒ εἰς ὀκτὼ καὶ ἑνὶ αὐτῶν ἴσον ἔθηκα τὸν ΕΜ, ὥστε τὸν ΜΒ τοῦ ΕΒ γενέσθαι ἐπόγδοον. καὶ πάλιν διελὼν τὸν ΜΒ εἰς ὀκτὼ ἑνὶ αὐτῶν ἴσον ἔθηκα τὸν ΝΜ· τόνῳ ἄρα βαρύτερος ἔσται ὁ ΝΒ τοῦ ΒΜ, ὁ δὲ ΜΒ τοῦ ΒΕ, ὥστε ἔσται μὲν ὁ ΝΒ τριτη ὑπερβολαίων, ὁ δὲ ΜΒ ὑπερβολαίων διάτονος. ἔλαβον τοῦ ΝΒ τρίτον μέρος καὶ ἔθηκα τὸν ΝΞ, ὥστε τὸν ΞΒ τοῦ ΝΒ εἶναι ἐπίτριτον καὶ διὰ τεσσάρων συμφωνεῖν ἐπὶ τὴν βαρύτητα καὶ γενέσθαι τὸν ΞΒ τριτην διεζευγμένων. πάλιν τοῦ ΞΒ λαβὼν ἥμισυ μέρος ἔθηκα τὸν ΞΟ, ὥστε διὰ πέντε συμφωνεῖν τὸν ΟΒ πρὸς τὸν ΞΒ· ὁ ἄρα ΟΒ ἔσται παρυπάτη μέσων. καὶ τῷ ΞΟ ἴσον ἔθηκα τὸν ΟΠ, ὥστε γενέσθαι τὸν ΠΒ παρυπάτην ὑπάτων. ἔλαβον δὴ τοῦ ΒΓ τέταρτον μέρος τὸν ΓΡ, ὥστε γενέσθαι τὸν ΡΒ μέσων διάτονον.

---

2. ἔτεμον] add. γάρ M^5. 8. ΗΒ (pr.)] ὁ ΗΒ M^1. 10. τοῦ W, τόν M^1. 14. ἑστῶτες] Bojesen (De harmonica scientia Grae-

$B\Delta$ mese. rursus quoniam $AB = 4EB$, erit EB nete hyperbolaeon. divisi ΓB in duas partes aequales in puncto Z. et erit ΓB duplo maior quam ZB, ut consonet ΓB ad ZB diapason. itaque ZB est nete synemmenon. abstuli ab ΔB tertiam partem ΔH. et erit ΔB dimidia parte maior quam HB, ita ut ΔB consonet ad HB in diapente. itaque HB nete erit diezeugmenon. posui $H\Theta = HB$, ita ut ΘB ad HB consonet diapason. itaque ΘB est hypate meson. sumpsi longitudinis ΘB tertiam partem ΘK. et erit ΘB dimidia parte maior quam KB, ita ut KB sit parameson. abstuli $\Lambda K = KB$ et fiet ΛB hypate gravis. ergo sumti erunt in canone omnes soni stantes systematis immobilis.


XX.

Iam restat, ut mobiles sumamus.

divisi EB in octo partes aequales et uni earum aequalem posui EM, ita ut MB octava parte maior fiat quam EB. et rursus diviso MB in octo partes aequales uni earum aequalem posui NM; tono igitur gravior erit NB quam BM, MB autem quam BE, ita ut sit NB trite hyperbolaeon, MB vero hyperbolaeon diatonos. sumpsi longitudinis NB tertiam partem et posui $N\Xi$, ita ut ΞB tertia parte maior sit quam NB et diatessaron ad gravitatem consonet et ΞB fiat trite diezeugmenon. rursus longitudinis ΞB sumta dimidia parte posui ΞO, ita ut diapente consonet OB ad ΞB. itaque OB erit parhypate meson. et posui $O\Pi = \Xi O$, ita ut fiat ΠB parhypate hypaton. iam sumpsi longitudinis $B\Gamma$ quartam partem ΓP, ita ut fiat PB meson diatonos.

---

corum p. 133 not.), Jan. 17. *δή*] Jan, *δεῖ* codd. 18. *τόν*] W, *τό* M. 23. *ὁ δὲ MB ὑπερβολαίων*] mg. add. M^2. *τοῦ*] M^2W, *τόν* M^1. 24. Post *καί* add. *ἑνὶ αὐτῶν ἴσον* M^3. *NΞ*] *Ξ* W. *τοῦ*] M^3, *τόν* M^1. 26. *καὶ*] supra m. 1 add. Vat. Regin. 94, om. cett. 27. *ἔθηκα*] *ἴσον αὐτῷ* M^3 supra. 28. *τῷ*] M^2 ex *τό*. 31. *τόν* (pr.)] W, *τό* M. *ΓP*] *ΓO* W. *μέσον* M.



Descriptum hoc est diagramma manu 2 in imo margine fol. 16ᵛ cod. M. litteras *Π* et *Z* librarius omisit, reliqua quae uncinis ⟨ ⟩ inclusa sunt perierunt cum margine membranae. Alterum est diagramma in summo margine eiusdem folii neglegenter descriptum, litterarum ordo hic: *A Λ Γ Θ Δ P K H E M N Ξ O Π B*, sonorum nomina non addita. W diagramma non habet.

Addit M¹ *εὐκλείδου κανόνος κατατομή ζώσιμος διώρθου ἐν κωνσταντινουπόλει εὐτυχῶς.*

⟨proslambanomenos⟩ A
hypate ⟨hypaton⟩ Λ
parhyp. ⟨hypaton⟩ ⟨Π⟩
lichanos ⟨hypaton⟩ I
hypate meson Θ
parhypate meson O
lichanos meson P
Mese Δ
paramese K
trite diezeugmenon Ϝ
paranete diezeugmenon ⟨Z⟩
nete diezeugmenon H
trite hyperbolaeon N
paranete hyperbolaeon M
nete hyperbolaeon E
B

INTRODUCTIO HARMONICA

1. Ἁρμονική ἐστιν ἐπιστήμη θεωρητική τε καὶ πρακτικὴ τῆς τοῦ ἡρμοσμένου φύσεως. ἡρμοσμένον δὲ τὸ ἐκ φθόγγων τε καὶ διαστημάτων ποιὰν τάξιν ἐχόντων συγκείμενον. μέρη δὲ αὐτῆς ἐστιν ἑπτά· περὶ φθόγγων, περὶ διαστημάτων, περὶ γενῶν, περὶ συστήματος, περὶ τόνου, περὶ μεταβολῆς, περὶ μελοποιΐας.

φθόγγος μὲν οὖν ἐστι φωνῆς πτῶσις ἐμμελὴς ἐπὶ μίαν τάσιν.

διάστημα δὲ τὸ περιεχόμενον ὑπὸ δύο φθόγγων ἀνομοίων ὀξύτητι καὶ βαρύτητι.

γένος δέ ἐστι ποιὰ τεττάρων φθόγγων διαίρεσις.

σύστημα δέ ἐστι τὸ ἐκ πλειόνων ἢ ἑνὸς διαστημάτων συγκείμενον.

τόνος δέ ἐστι τόπος τις τῆς φωνῆς δεκτικὸς συστήματος ἁπλατής.

μεταβολὴ δέ ἐστιν ὁμοίου τινὸς εἰς ἀνόμοιον τόπον μετάθεσις.

μελοποιΐα δέ ἐστι χρῆσις τῶν ὑποκειμένων τῇ ἁρμονικῇ πραγματείᾳ πρὸς τὸ οἰκεῖον ἑκάστης ὑποθέσεως.

2. Ταῦτα δὲ θεωρεῖται ἐν φωνῆς ποιότητι, ἧς κινήσεις εἰσὶ δύο, ἡ μὲν συνεχής τε καὶ λογικὴ καλουμένη, ἡ δὲ διαστηματικὴ τε καὶ μελῳδική. ἡ μὲν οὖν συνεχὴς κίνησις τῆς φωνῆς τάς τε ἐπιτάσεις καὶ τὰς ἀνέσεις ἀφανῶς ποιεῖται μηδαμοῦ ἱσταμένη ἢ μέχρι

Κλεονείδου εἰ. ἁρ. N fol. 55 (cum Par. 2535, B fol. 311, Vat. 221, Riccard., Bonon. 2432). *Εὐκλείδου εἰ. ἁρ.* M⁴ in ras. W m. 2. Lips. 25 (Marc. 322. Bon. 2048. Vat. 1341. 1346. Urb. 77ª. Regin. 94. Mon. 104. Berol. Phil. 1552. Par. 2456. 2457. 2460ª. suppl. 449. Escor. Φ 2, 5. X 1, 12. — Barocc). *Ἐκ τῶν τοῦ Πάππου* B (fol. 300) cum N fol. 16. Par. Crameri 2460 (f. 52). Vat. 221. 671. Urb. 77ᵇ. *Ζωσίμου* Matritensis N. 48. *Ἀνωνύμου* cod. Vulc. rasura in M¹.

1. Harmonica est scientia naturam compositionis harmonicae et considerandi et exercendi. harmonice compositum autem est id, quod et ex sonis et ex intervallis ordinem quendam habentibus constat. partes autem eius sunt septem: de sonis, de intervallis, de generibus, de systemate, de tono, de mutatione, de melopoeia.

sonus igitur est concinnus vocis casus in unam tensionem.

intervallum autem, quod comprehenditur duobus sonis acumine et gravitate dissimilibus.

genus est quaedam quattuor sonorum divisio.

systema est id, quod ex pluribus quam uno intervallis constat.

tonus est locus quidam vocis, systematis capax, latitudine carens.

mutatio est similis alicuius in dissimilem locum transmotio.

melopoeia est usus eorum, quae tractationi harmonicae sunt subiecta pro eo, quod est uniuscuiusque argumenti proprium.

2. Haec autem considerantur in vocis qualitate, cuius motus sunt duo, alter qui vocatur continuus et loquendi proprius, alter intervallatus et melodicus. continuus igitur vocis motus et intentiones et remissiones latenter facit nusquam insistens nisi usque ad silentium. inter-

---

1. τε] om. W, item lin. 3. 2. Post δέ add. ἐστι W. 3. ποιάν —6. μεταβολῆς] mg. 2 W. ἐχόντων συγκείμενον] τῶν συγκειμένων ἔχον W. συγκείμενον]ο e corr. M². 4. ἐστιν] εἰσι W. 5. Post γενῶν ins. mg. περὶ μελοποιΐας M¹ et om. lin. 6, numeris inscriptis mutat M⁴. συστημάτων W. 6. τόνων W.

σιωπῆς. ἡ δὲ διαστηματικὴ κίνησις τῆς φωνῆς ἐναντίως κινεῖται τῇ συνεχεῖ· μονάς τε γὰρ ποιεῖ καὶ τὰς μεταξὺ τούτων διαστάσεις, ἐναλλὰξ αὐτῶν ἑκάτερον τιθεῖσα. τὰς μὲν οὖν μονὰς τάσεις καλοῦμεν, τὰς δὲ μεταβάσεις τὰς ἀπὸ τάσεων ἐπὶ τάσεις διαστήματα. τὰ δὲ ποιοῦντα τὴν τῶν τάσεων διαφορὰν ἐπίτασίς ἐστι καὶ ἄνεσις, ἀποτέλεσμα δὲ τούτων ὀξύτης καὶ βαρύτης. τὸ μὲν γὰρ δι' ἐπιτάσεως γινόμενον εἰς ὀξύτητα ἄγει, τὸ δὲ δι' ἀνέσεως εἰς βαρύτητα. καὶ ὀξύτης μὲν οὖν ἐστι τὸ δι' ἐπιτάσεως γινόμενον ἀποτέλεσμα, βαρύτης δὲ τὸ δι' ἀνέσεως. [. . . . ἀμφοῖν γὰρ συμβέβηκε τὸ τετάσθαι.] καλοῦνται δὲ αἱ τάσεις καὶ φθόγγοι· τάσεις μὲν ἀπὸ τῶν καθαπτῶν ὀργάνων παρὰ τὸ τετάσθαι, φθόγγοι δέ, ἐπεὶ ὑπὸ φωνῆς ἐνεργοῦνται. φθόγγοι δέ εἰσι τῇ μὲν τάσει ἄπειροι, τῇ δὲ δυνάμει καθ' ἕκαστον γένος δεκαοκτώ.

3. Γένη δέ ἐστι τρία, διάτονον, χρῶμα, ἁρμονία. καὶ μελῳδεῖται τὸ μὲν διάτονον ἐπὶ μὲν τὸ βαρὺ κατὰ τόνον καὶ τόνον καὶ ἡμιτόνιον, ἐπὶ δὲ τὸ ὀξὺ ἐναντίως κατὰ ἡμιτόνιον καὶ τόνον καὶ τόνον, τὸ δὲ χρῶμα ἐπὶ μὲν τὸ βαρὺ κατὰ τριημιτόνιον καὶ ἡμιτόνιον καὶ ἡμιτόνιον, ἐπὶ δὲ τὸ ὀξὺ ἐναντίως κατὰ ἡμιτόνιον καὶ ἡμιτόνιον καὶ τριημιτόνιον, ἡ δὲ ἁρμονία ἐπὶ μὲν τὸ βαρὺ κατὰ δίτονον καὶ δίεσιν καὶ δίεσιν, ἐπὶ δὲ τὸ ὀξὺ ἐναντίως κατὰ δίεσιν καὶ δίεσιν καὶ δίτονον.

4. Εἰσὶ δὲ οἱ μὲν ἐν τῷ διατόνῳ φθόγγοι οἵδε·

προσλαμβανόμενος
ὑπάτη ὑπάτων
παρυπάτη ὑπάτων

---

3. ἐναλάξ W. τιθεῖσα] τέθειται W. 6. ἐτίτασις — 7. βαρύτης] ἐπίτασις δέ ἐστι καὶ ἄνεσις τὸ ἀποτέλεσμα τούτων ὀξύτητι καὶ βαρύτητα. 7. Post γάρ add. διαφέρον W. 9. καὶ ὀξύτης μὲν οὖν] ὀξύτης δέ W. 10. δι' ἀνέσεως] τὸ ἐναντίον W. 11. Ante ἀμφοῖν γάρ hab. ὅτι τάσις καλεῖται παρὰ τὸ τετάσθαι· καλεῖται δὲ καὶ φθόγγος, ἐπεὶ ὑπὸ φωνῆς ἐνεργεῖται W.

vallatus vero vocis motus contrarie movetur continuo; nam et institiones facit et inter eas distantias, vicissim utrumque eorum conlocans. et institiones quidem tensiones vocamus, transitus vero a tensionibus ad tensiones intervalla. quae autem tensionum differentiam efficiunt, intentio sunt et remissio, harum vero perfectio acumen et gravitas; nam id, quod intentione fit, ad acumen versus tendit; id vero, quod remissione, ad gravitatem versus. acumen igitur perfectio est, quae intentione fit, gravitas vero, quae remissione. [. . . . utrique enim continet, ut intendatur.] [1]) vocantur autem tensiones etiam soni; tensiones de tactis instrumentis, quia intenta sunt, soni vero, quod voce eduntur. soni autem tensione innumerabiles sunt, potestate vero in unoquoque genere duodeviginti.

3. Genera autem sunt tria: diatonum, chroma, harmonia. et canitur diatonum ad grave versus per tonum et tonum et semitonium, ad acutum versus contrarie per semitonium et tonum et tonum, chroma autem ad grave versus per triemitonium et semitonium et semitonium, ad acutum versus contrarie per semitonium et semitonium et triemitonium, harmonia autem ad grave versus per ditonum et diesin et diesin, ad acutum versus contrarie per diesin et diesin et ditonum.

4. Sunt autem soni in diatono hi:

proslambanomenos
hypate hypaton
parhypate hypaton

---

1) Verba lin. 11. *ἀμφοῖν — τετάσθαι* Jan rectissime iudicat interpolata esse; v. Mus. Gr. p. 177.

---

12. *αἱ*] W, om. cett. 13. *καθαπτῶν*] *καθ' αὑτῶν* W. 15. *δέκα καὶ ὀκτώ* W. 26. *δέ*] W, om. M. 28. *ὑπάτων* semper M^1, *ὑπατῶν* corr. M.

λιχανὸς ὑπάτων διάτονος
ὑπάτη μέσων
παρυπάτη μέσων
λιχανὸς μέσων διάτονος
μέση
τρίτη συνημμένων
παρανήτη συνημμένων διάτονος
νήτη συνημμένων
παραμέση
τρίτη διεζευγμένων
παρανήτη διεζευγμένων διάτονος
νήτη διεζευγμένων
τρίτη ὑπερβολαίων
παρανήτη ὑπερβολαίων διάτονος
νήτη ὑπερβολαίων.

Ἐν δὲ χρώματι οἵδε·
προσλαμβανόμενος
ὑπάτη ὑπάτων
παρυπάτη ὑπάτων
λιχανὸς ὑπάτων χρωματική
ὑπάτη μέσων
παρυπάτη μέσων
λιχανὸς μέσων χρωματική
μέση
τρίτη συνημμένων
παρανήτη συνημμένων χρωματική
νήτη συνημμένων
παραμέση
τρίτη διεζευγμένων
παρανήτη διεζευγμένων χρωματική
νήτη διεζευγμένων
τρίτη ὑπερβολαίων

---

1. λιχανός videtur M¹ semper, λίχανος M corr. 6. τρίτη] νήτη W. 7. 8. διάτονος νήτη συνημμένων] om. W. 9. Post

lichanos hypaton diatonos
hypate meson
parhypate meson
lichanos meson diatonos
mese
trite synemmenon
paranete synemmenon diatonos
nete synemmenon
paramese
trite diezeugmenon
paranete diezeugmenon diatonos
nete diezeugmenon
trite hyperbolaeon
paranete hyperbolaeon diatonos
nete hyperbolaeon.

In chromate autem hi:
proslambanomenos
hypate hypaton
parhypate hypaton
lichanos hypaton chromatice
hypate meson
parhypate meson
lichanos meson chromatice
mese
trite synemmenon
paranete synemmenon chromatice
nete synemmenon
paramese
trite diezeugmenon
paranete diezeugmenon chromatice
nete diezeugmenon
trite hyperbolaeon

παραμέση add. *συνημμένων* W. ante *νήτη* lac. et ras. 4—5 litt. 11. *παρανήτη*] *νήτη* W, sed 18. *ὑπάτη*] bis W.

παρανήτη ὑπερβολαίων χρωματική
νήτη ὑπερβολαίων.
Ἐν δὲ ἁρμονίᾳ οἵδε·
προσλαμβανόμενος
ὑπάτη ὑπάτων
παρυπάτη ὑπάτων
λιχανὸς ὑπάτων ἐναρμόνιος
ὑπάτη μέσων
παρυπάτη μέσων
λιχανὸς μέσων ἐναρμόνιος
μέση
τρίτη συνημμένων ἐναρμόνιος
παρανήτη συνημμένων ἐναρμόνιος
νήτη συνημμένων
παραμέση
τρίτη διεζευγμένων ἐναρμόνιος
παρανήτη διεζευγμένων ἐναρμόνιος
νήτη διεζευγμένων
τρίτη ὑπερβολαίων ἐναρμόνιος
παρανήτη ὑπερβολαίων ἐναρμόνιος
νήτη ὑπερβολαίων.
Κατὰ δὲ μίξιν τῶν γενῶν οἵδε·
προσλαμβανόμενος
ὑπάτη ὑπάτων
παρυπάτη ὑπάτων
λιχανὸς ὑπάτων ἐναρμόνιος
λιχανὸς ὑπάτων χρωματική
λιχανὸς ὑπάτων διάτονος
ὑπάτη μέσων
παρυπάτη μέσων

7. λιχανὸς ὑπάτων] om. W. 8. μέσων] μέση W, item lin. 9, 10. 12. Post συνημμένων add. λιχανὸς συνημμένων W. ἐναρμόνιος] in M perfossum; item lin. 16, 17 et 20. 14. Post συνημμένων add. παρανήτη συνημμένων W. 15. Post παραμέση add. συνημμένων ἐναρμόνιος W. 16. τρίτη]

paranete hyperbolaeon chromatice
nete hyperbolaeon.

In harmonia autem hi:

proslambanomenos
hypate hypaton
parhypate hypaton
lichanos hypaton enarmonios
hypate meson
parhypate meson
lichanos meson enarmonios
mese
trite synemmenon enarmonios
paranete synemmenon enarmonios
nete synemmenon
paramese
trite diezeugmenon enarmonios
paranete diezeugmenon enarmonios
nete diezeugmenon
trite hyperbolaeon enarmonios
paranete hyperbolaeon enarmonios
nete hyperbolaeon.

Secundum mixturam generum hi:

proslambanomenos
hypate hypaton
parhypate hypaton
lichanos hypaton enarmonios
lichanos hypaton chromatice
lichanos hypaton diatonos
hypate meson
parhypate meson

νήτη W. *ἐναρμόνιος*] del. M^4; om. W, item lin. 17, 19. 17. *ἐναρμόνιος*] perfossum M. 18. *παραμέση διεζευγμένων ἐναρμόνιος* W. 25. Add. *ἐναρμόνιος* W. 22—25. ita in **B**; in M rasura et fere omnia nova. 26. *ἐναρμόνιος* —28. *ὑπάτων*] om. W. 29. Post *μέσων* add. *χρωματικὴ λιχανὸς ὑπάτων* W.

λιχανὸς μέσων ἐναρμόνιος
λιχανὸς μέσων χρωματική
λιχανὸς μέσων διάτονος
μέση
τρίτη συνημμένων
παρανήτη συνημμένων ἐναρμόνιος
παρανήτη συνημμένων χρωματική
παρανήτη συνημμένων διάτονος
νήτη συνημμένων
παραμέση
τρίτη διεζευγμένων
παρανήτη διεζευγμένων ἐναρμόνιος
παρανήτη διεζευγμένων χρωματική
παρανήτη διεζευγμένων διάτονος
νήτη διεζευγμένων
τρίτη ὑπερβολαίων
παρανήτη ὑπερβολαίων ἐναρμόνιος
παρανήτη ὑπερβολαίων χρωματική
παρανήτη ὑπερβολαίων διάτονος
νήτη ὑπερβολαίων.

τῶν δὲ ἐξηριθμημένων φθόγγων οἱ μέν εἰσιν ἑστῶτες, οἱ δὲ κινούμενοι. ἑστῶτες μὲν οὖν εἰσιν, ὅσοι ἐν ταῖς τῶν γενῶν διαφοραῖς οὐ μεταπίπτουσιν, ἀλλὰ μένουσιν ἐπὶ μιᾶς τάσεως. κινούμενοι δέ, ὅσοι τοὐναντίον πεπόνθασιν· ἐν γὰρ ταῖς τῶν γενῶν διαφοραῖς μεταβάλλουσι καὶ οὐ μένουσιν ἐπὶ μιᾶς τάσεως. εἰσὶν οὖν οἱ μὲν ἑστῶτες ὁκτὼ οἵδε· προσλαμβανόμενος, ὑπάτη ὑπάτων, ὑπάτη μέσων, μέση, νήτη συνημμένων, παραμέση, νήτη διεζευγμένων, νήτη ὑπερβολαίων· κινούμενοι δὲ οἱ ἀνὰ μέσον τούτων πάντες.

τῶν δὲ ἑστώτων οἱ μέν εἰσι βαρύπυκνοι, οἱ δὲ

---

11. *τρίτη*] M in ras., *νήτη* W. 12. *γμένων* —14. *διάτονος*] M⁴ in ras. 16. *ὑπερβολαίων*] add. *χρωματική* W. 17. *ἐν-*

lichanos meson enarmonios
lichanos meson chromatice
lichanos meson diatonos
mese
trite synemmenon.
paranete synemmenon enarmonios
paranete synemmenon chromatice
paranete synemmenon diatonos
nete synemmenon
paramese
trite diezeugmenon
paranete diezeugmenon enarmonios
paranete diezeugmenon chromatice
paranete diezeugmenon diatonos
nete diezeugmenon
trite hyperbolaeon
paranete hyperbolaeon enarmonios
paranete hyperbolaeon chromatice
paranete hyperbolaeon diatonos
nete hyperbolaeon.

sonorum autem, qui enumerati sunt, alteri sunt stantes, alteri mobiles. ac stantes quidem sunt, quotquot in generum differentiis non mutantur, sed manent in una tensione; mobiles vero, quotquot contrarium subierunt; in generum enim differentiis mutantur neque manent in una tensione. sunt igitur stantes octo hi: proslambanomenos, hypate hypaton, hypate meson, mese, nete synemmenon, paramese, nete diezeugmenon, nete hyperbolaeon; mobiles vero, qui sunt in horum medio, omnes.

stantium alii sunt barypycni, alii apycni et compre-

αρμόνιος — 19. *ὑπερβολαίων*] om. W. 24. *κινούμενοι* —26. *τάσεως*] om. W. 30. *οἱ*] *οἵδε οἱ* W. *μέσων* W. 31. *τῶν ἑστώτων οἱ βαρύπυκνοι* M mg. m. 2.

ἄπυκνοι καὶ περιέχοντες τὰ τέλεια συστήματα. βαρύπυκνοι μὲν οὖν εἰσι πέντε οἵδε· ὑπάτη ὑπάτων, ὑπάτη μέσων, μέση, παραμέση, νήτη διεζευγμένων. ἄπυκνοι δὲ καὶ περιέχοντες τὰ τέλεια συστήματα οἱ λοιποὶ τρεῖς οἵδε· προσλαμβανόμενος, νήτη συνημμένων, νήτη ὑπερβολαίων.

τῶν δὲ κινουμένων οἱ μέν εἰσι μεσόπυκνοι, οἱ δὲ ὀξύπυκνοι, οἱ δὲ διάτονοι. μεσόπυκνοι μὲν οὖν εἰσι πέντε οἵδε· παρυπάτη ὑπάτων, παρυπάτη μέσων, τρίτη συνημμένων, τρίτη διεζευγμένων, τρίτη ὑπερβολαίων. ὀξύπυκνοι δὲ ὁμοίως κατὰ γένος πέντε, ἐν μὲν ἁρμονίᾳ οἱ ἐναρμόνιοι, ἐν δὲ χρώματι οἱ χρωματικοί· τὸ γὰρ διάτονον οὐ μετέχει πυκνοῦ. εἰσὶν οὖν οἱ μὲν ἐν τῇ ἁρμονίᾳ οἵδε· λιχανὸς ὑπάτων ἐναρμόνιος, λιχανὸς μέσων ἐναρμόνιος, παρανήτη συνημμένων ἐναρμόνιος, παρανήτη διεζευγμένων ἐναρμόνιος, παρανήτη ὑπερβολαίων ἐναρμόνιος. ἐν δὲ τῷ χρώματι οἵδε· λιχανὸς ὑπάτων χρωματική, λιχανὸς μέσων χρωματική, παρανήτη συνημμένων χρωματική, παρανήτη διεζευγμένων χρωματική, παρανήτη ὑπερβολαίων χρωματική. ⟨οἱ δὲ διατόνοι⟩ οἵδε· λιχανὸς ὑπάτων διάτονος, λιχανὸς μέσων διάτονος, παρανήτη συνημμένων διάτονος, παρανήτη διεζευγμένων διάτονος, παρανήτη ὑπερβολαίων διάτονος.

5. Τῶν δὲ διαστημάτων διαφοραί εἰσι πέντε, ᾗ τε μεγέθει ἀλλήλων διαφέρει καὶ ᾗ κατὰ γένος καὶ ᾗ τὰ σύμφωνα τῶν διαφώνων καὶ ᾗ τὰ σύνθετα τῶν ἀσυνθέτων καὶ ᾗ τὰ ῥητὰ τῶν ἀλόγων. ἡ μὲν οὖν κατὰ μέγεθός ἐστι, καθ' ἣν ἃ μέν ἐστι μείζονα τῶν διαστη-

---

4. *οἱ ἄπυκνοι* M mg. m. 2. 7. *τῶν κινουμένων μεσόπυκνοι ὀξύπυκνοι διάτονοι* M mg. m. 2. 9. *παρυπάτη* (pr.)] M^4, *ὑπάτη* M^1. 10. *τρίτη* (alt.)] M^4, *τῶν* M^1. 12. *χώματι* M^1, sed corr. 18. *χρωματική* (alt.) — 22. *συνημμένων*] om. W. 18. *χρωματική* (alt.)] corr. ex *δίτονος* M^4; item lin. 19. 20. *οἱ δὲ διάτονοι*] Jan, *ἐν δὲ διατόνῳ* NB. 21. *λιχανὸς* — 23. *διάτονος*] NB, om. M. 24. *ᾗ τε μεγέθει*] *ᾗ τὰ μεγέθη* W. 25. Post

hendentes systemata perfecta. ac barypycni quidem sunt quinque hi: hypate hypaton, hypate meson, mese, paramese, nete diezeugmenon. apycni vero et comprehendentes systemata perfecta hi tres reliqui: proslambanomenos, nete synemmenon, nete hyperbolaeon.

mobilium autem alii sunt mesopycni, alii oxypycni, alii diatoni. ac mesopycni quidem sunt quinque hi: parhypate hypaton, parhypate meson, trite synemmenon, trite diezeugmenon, trite hyperbolaeon. oxypycni vero similiter secundum genus quinque, in harmonia enarmonii, in chromate chromatici; diatonum enim spissi particeps non est. sunt igitur in harmonia hi: lichanos hypaton enarmonios, lichanos meson enarmonios, paranete synemmenon enarmonios, paranete diezeugmenon enarmonios, paranete hyperbolaeon enarmonios. in chromate autem hi: lichanos hypaton chromatice, lichanos meson chromatice, paranete synemmenon chromatice, paranete diezeugmenon chromatice, paranete hyperbolaeon chromatice. diatoni autem hi: lichanos hypaton diatonos, lichanos meson diatonos, paranete synemmenon diatonos, paranete diezeugmenon diatonos, paranete hyperbolaeon diatonos.[1])

5. Intervallorum differentiae sunt quinque, quatenus magnitudine inter se differunt et quatenus genere et quatenus consona a dissonis et quatenus composita ab incompositis et quatenus rationalia ab irrationalibus. ac differentia quidem secundum magnitudinem est, se-

1) V. quae de hoc loco corrupto diserte disputavit J. Cook Wilson, Classical Rev. XVIII 1904, p. 388 sq.

γένος add. *ἀλλήλων* W. 26. *ἥ*] W, om. cett., item lin. 27. *σύνθετα τῶν ἀσύνθέτων*] *ἀσύνθετα τῶν συνθέτων* W.

μάτων, ἃ δὲ ἐλάττονα, οἷον δίτονον, τόνος, ἡμιτόνιον, διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν καὶ τὰ ὅμοια. ἡ δὲ κατὰ γένος, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων διατονικά, ἃ δὲ χρωματικά, ἃ δὲ ἐναρμόνια. ἡ δὲ τοῦ συμφώνου, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων σύμφωνα, ἃ δὲ διάφωνα. σύμφωνα μὲν οὖν ἐστι διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν καὶ τὰ ὅμοια. διάφωνα δὲ τὰ ἐλάττονα τοῦ διὰ τεσσάρων πάντα καὶ τὰ μεταξὺ τῶν συμφώνων πάντα. ἐλάττω μὲν οὖν ἐστι τοῦ διὰ τεσσάρων δίεσις, ἡμιτόνιον, τόνος, δίτονον, μεταξὺ δὲ τῶν συμφώνων τρίτονον, τετράτονον, πεντάτονον καὶ τὰ ὅμοια. ἔστι δὲ συμφωνία μὲν κρᾶσις δύο φθόγγων, ὀξυτέρου καὶ βαρυτέρου· ⟨διαφωνία δὲ τοὐναντίον δύο φθόγγων ἀμιξία⟩, ὥστε μὴ κραθῆναι, ἀλλὰ τραχυνθῆναι τὴν ἀκοήν. ἡ δὲ τοῦ συνθέτου ἐστὶ διαφορά, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων ἀσύνθετα, ἃ δὲ σύνθετα. ἀσύνθετα μὲν οὖν διαστήματά ἐστι τὰ ὑπὸ τῶν ἑξῆς φθόγγων περιεχόμενα, οἷον ὑπάτης καὶ παρυπάτης, καὶ λιχανοῦ καὶ μέσης· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν διαστημάτων. σύνθετα δὲ τὰ ὑπὸ τῶν μὴ ἑξῆς, οἷον μέσης καὶ παρυπάτης, μέσης καὶ νήτης, παραμέσης καὶ ὑπάτης. ἔστι δέ τινα κοινὰ συνθέτου καὶ ἀσυνθέτου διαστήματα, τὰ ἀπὸ ἡμιτονίου μέχρι διτόνου. τὸ μὲν γὰρ ἡμιτόνιόν ἐστιν ἐν ἁρμονίᾳ σύνθετον, ἐν δὲ χρώματι καὶ διατόνῳ ἀσύνθετον· ὁ τόνος ἐν μὲν χρώματι σύνθετος, ἐν δὲ διατόνῳ ἀσύνθετος· τὸ τριημιτόνιον ἐν μὲν χρώματι ἀσύνθετον, ἐν δὲ διατόνῳ σύνθετον· τὸ δίτονον ἐν μὲν ἁρμονίᾳ ἀσύνθετον, ἐν δὲ χρώματι καὶ διατόνῳ σύνθετον. τὰ δὲ ἐλάττω τοῦ ἡμιτονίου

---

1. *δίτονον*] *διάτονον* W. Post *δίτονον* add. *τριημιτόνιον* M⁴. *τόνος*] *τόνος καὶ τόνος καί* W. Post *ἡμιτόνιον* add. *δίεσις* M⁴. 2. *διά* (pr.)] *τὰ διά* W. 8. *πάντα*] M², *πέντε* M¹ W. 9. *ἐλάττω*] NB, *ἐλάττων* M, *ἐλάττονα* W. 10. Post *τόνος* add. *τριημιτόνιον* M⁴. 13. *διαφωνία — ἀμιξία* Pena, Meibom, Jan., om. codd. 14. *ὥστε μή*] *μὴ ὥστε* MW. *κραθῆναι*] *ἢ καθαρθῆναι*

cundum quam alia intervallorum sunt maiora, alia minora, velut ditonum, tonus, semitonium, diatessaron, diapente, diapason similiaque. differentia autem secundum genus, secundum quam alia intervallorum sunt diatonica, alia chromatica, alia enarmonia. differentia autem consoni, secundum quam alia intervallorum sunt consona, alia dissona. consona sunt igitur diatessaron, diapente, diapason similiaque. dissona vero sunt ea, quae minora sunt quam diatessaron, omnia et ea, quae inter consona sunt, omnia. et minora quidem sunt quam diatessaron diesis, semitonium, tonus, ditonum, inter consona autem tritonum, tetratonum, pentatonum similiaque. atque consonantia est permixtio duorum sonorum, acutioris et gravioris, dissonantia vero contrarie duorum sonorum fuga permixtionis, ita ut non misceantur atque auditus exasperetur. compositi autem est differentia, secundum quam alia intervallorum sunt incomposita, alia composita. atque incomposita sunt intervalla, quae sonis deinceps conlocatis comprehenduntur, velut hypate et parhypate, lichano et mese. eadem ratio est in ceteris quoque intervallis. composita vero ea, quae sonis non deinceps conlocatis comprehenduntur, velut mese et parhypate, mese et nete, paramese et hypate. sunt autem communia quaedam compositi et incompositi intervalla, ea dico, quae a semitonio sunt usque ad ditonum. semitonium enim in harmonia est compositum, in chromate vero et diatono incompositum; tonus in chromate est compositus, in diatono incompositus; triemitonium in chromate incompositum, in diatono compositum; ditonum in harmonia

---

M, *ἐκκαθαρθῆναι* W. 18. Ante *περιεχόμενα* add. *μή* W. *καί* M⁴, om. M¹W. 19. Ante *μέσης* insert. *ὑπάτης* M⁴ 20. *τῶν μή*] *τά* W. 21. *μέσης καί νήτης*] om. W. 23. *διτόνου*] *διατόνου* W. 24. *ἐστιν*] om. W. Post *ἁρμονίᾳ* add. *μέν* W. 28. *δίτονον*] W, *δί///τονον* M.

πάντα ἐστὶν ἀσύνθετα· ὁμοίως δὲ καὶ τὰ μείζω τοῦ διτόνου πάντα σύνθετα. ἡ δὲ τοῦ ῥητοῦ καὶ ἀλόγου διαφορά ἐστι, καθ' ἣν τῶν διαστημάτων ἃ μὲν ἐστι ῥητά, ἃ δ' ἄλογα. ῥητὰ μὲν οὖν ἐστιν, ὧν οἷόν τέ ἐστι τὰ μεγέθη ἀποδιδόναι, οἷον τόνον, ἡμιτόνιον, δίτονον, τρίτονον καὶ τὰ ὅμοια· ἄλογα δὲ τὰ παραλλάττοντα ταῦτα τὰ μεγέθη ἐπὶ τὸ μεῖζον ἢ ἐπὶ τὸ ἔλαττον ἀλόγῳ τινὶ μεγέθει.

6. Γένη δέ ἐστι τρία τὰ προειρημένα. πᾶν οὖν ἔσται μέλος ἤτοι διατονικὸν ἢ χρωματικὸν ἢ ἐναρμόνιον ἢ κοινὸν ἢ μικτὸν ἐκ τούτων. διατονικὸν μὲν οὖν ἐστι τὸ τῇ διατονικῇ διαιρέσει χρώμενον, χρωματικὸν δὲ τὸ τῇ χρωματικῇ, ἐναρμόνιον δὲ τὸ τῇ ἐναρμονίῳ. κοινὸν δὲ τὸ ἐκ τῶν ἑστώτων συγκείμενον, μικτὸν δὲ τό, ἐν ᾧ δύο ἢ τρεῖς χαρακτῆρες γενικοὶ ἐμφαίνονται, οἷον διατόνου καὶ χρώματος ἢ διατόνου καὶ ἁρμονίας ἢ χρώματος καὶ ἁρμονίας ἢ καὶ διατόνου καὶ χρώματος καὶ ἁρμονίας. γίνονται δὲ αἱ τῶν γενῶν διαφοραὶ παρὰ τοὺς κινουμένους τῶν φθόγγων· κινεῖται δὲ ἡ μὲν λιχανὸς ἐν τονιαίῳ τόπῳ, ἡ δὲ παρυπάτη ἐν διεσιαίῳ. λιχανὸς μὲν οὖν ἐστιν ὀξυτάτη ἡ τόνον ἀπὸ τοῦ ἑτέρου ἀπέχουσα τῶν τὸ τετράχορδον περιεχόντων, βαρυτάτη δὲ ἡ δίτονον. ὁμοίως δὲ καὶ παρυπάτη ἐστὶ βαρυτάτη μὲν ἡ δίεσιν ἀπὸ τοῦ βαρυτέρου τῶν τὸ τετράχορδον περιεχόντων ἀπέχουσα, ὀξυτάτη δὲ ἡ ἡμιτόνιον ἀπέχουσα.

7. Χρόα δέ ἐστι γένους εἰδικὴ διαίρεσις. χρόαι δέ εἰσιν αἱ ῥηταὶ καὶ γνώριμοι ἕξ, ἁρμονίας μία, χρώματος τρεῖς, διατόνου δύο.

---

1. ὁμοίως] ἔμπαλιν W. 7. τά — 8. τινί] τῷ W. 9. ἐστι] εἰσι W. προειρημένα] seq. lac. 2.—3. litt. et deinde pro titulo in textu: περὶ μέλους W. 14. τό (pr.)] τὸ τό W. Post ἑστώτων add. φθόγγων W. 16. ἁρμονίας] ας in ras. M, item lin. 17. (utrumque). 19. Post φθόγγων add. τόπους W. 20. διεσιαίῳ] M⁴, δ//σιαίω M¹, δεσίῳ W. 21. ἑτέρου] ὀξυτέρου M⁴, ἑτέρου τόνου W. 22. τετραχόρδων W. δί///τονον M, item p. 202 lin. 3. 23. καί] om. W. δίεσιν — 25. ἀπέχουσα (alt.)]

incompositum, in chromate et diatono compositum. intervalla vero, quae sunt hemitonio minora, omnia sunt incomposita; eodem modo etiam ea, quae sunt maiora ditono, omnia compósita. rationalis vero et irrationalis est differentia, secundum quam intervallorum alia sunt rationalia, alia irrationalia. atque rationalia sunt, quorum magnitudines possunt indicari, velut tonus, semitonium, ditonum, tritonum similiaque; irrationalia vero, quae has magnitudines sive maius sive minus versus transgrediuntur irrationali quadam magnitudine.

6. Genera autem sunt tria, quae autea nominata sunt. omne igitur melos aut diatonicum erit aut chromaticum aut enarmonium aut commune aut mixtum ex his. diatonicum est igitur id, quod diatonica divisione utitur, chromaticum id, quod chromatica, enarmonium id, quod enarmonia. commune vero id, quod ex stantibus est compositum, mixtum id, in quo duo vel tres habitus generales adparent, velut diatoni et harmoniae aut chromatis et harmoniae aut et diatoni et chromatis et harmoniae. fiunt autem generum differentiae secundum mobiles sonorum. et lichanos quidem in toniaeo ambitu movetur, parhypate vero in diesiaeo. ac lichanos acutissima est ea quae tono abest ab altero eorum sonorum, qui tetrachordum comprehendunt, gravissima, quae ditono. eodem autem modo etiam parhypate est gravissima, quae diesi abest a graviore eorum sonorum, qui tetrachordum comprehendunt, acutissima vero, quae hemitonio abest.

7. Color autem est specialis generis divisio. colores autem sunt rationales et perceptu faciles sex, harmoniae unus, chromatis tres, diatoni duo.

τοῦ βαρυτέρου τὸ τῶν τετραχόρδων περιεχόντων δίτονον ἀπέχουσα, ὀξυτάτη δὲ ἡ τόνον ἀπέχουσα ἀπὸ τῶν τετραχόρδων περιεχόντων W. 26. *γένους*] *ἡ γένους* W. *χρόαι*] *χροιαί* MW, prius *ι* eras. M. 27. *ἁρμονίας*] *ἡ τοῦ ἐναρμονίου γένους* supra M^4.

ἡ μὲν οὖν τῆς ἁρμονίας τῇ αὐτοῦ τοῦ γένους διαιρέσει κέχρηται· μελῳδεῖται γὰρ κατὰ δίεσιν καὶ δίεσιν τὴν ἴσην καὶ δίτονον.

τῶν δὲ χρωματικῶν διαιρέσεων βαρυτάτη μέν ἐστιν ἡ τοῦ μαλακοῦ χρώματος χρόα· μελῳδεῖται δὲ κατὰ δίεσιν τριτημόριον τόνου καὶ δίεσιν τὴν ἴσην καὶ τὸ ἴσον τόνῳ καὶ τῷ ἡμίσει καὶ τρίτῳ· τὸ δὲ ἡμιόλιον κατὰ δίεσιν ἡμιόλιον τῆς ἐναρμονίου διέσεως καὶ δίεσιν τὴν ἴσην καὶ ἑπτὰ τεταρτημορίων διέσεων ἀσύνθετον διάστημα. τὸ δὲ τονιαῖον χρῶμα τῇ αὐτῇ τοῦ γένους χρόᾳ κέχρηται· μελῳδεῖται γὰρ κατὰ ἡμιτόνιον καὶ ἡμιτόνιον καὶ τριημιτόνιον. κέκληται δὲ τὰ εἰρημένα χρώματα ἀπὸ τῶν ἐνυπαρχόντων αὐτοῖς πυκνῶν· τό τε γὰρ τονιαῖον ἀπὸ τοῦ ἐνυπάρχοντος αὐτῷ κατὰ σύνθεσιν τόνου, καὶ ἡμιόλιον ἀπὸ τῶν ἐνυπαρχουσῶν αὐτῷ διέσεων, ἡμιολίων τῶν ἐναρμονίων διέσεων, μαλακὸν δὲ τὸ τοῦ ἐλαχίστου πυκνοῦ ὡσαύτως χρῶμα, ἐπειδὴ τὸ ἐν αὐτῷ πυκνὸν ἀνίεταί τε καὶ ἐκλύεται.

τῶν δὲ διατονικῶν διαιρέσεων τὸ μὲν διάτονον μαλακὸν καλεῖται, τὸ δὲ σύντονον. ἡ μὲν οὖν τοῦ μαλακοῦ διατόνου χρόα μελῳδεῖται κατὰ ἡμιτόνιον καὶ τριῶν διέσεων ἀσύνθετον διάστημα καὶ πέντε διέσεων ὁμοίως ἀσύνθετον διάστημα. ἡ δὲ τοῦ συντόνου διατόνου τῇ αὐτῇ τοῦ γένους ἐπικοινωνεῖ διαιρέσει· μελῳδεῖται γὰρ καθ' ἡμιτόνιον καὶ τόνον καὶ τόνον.

---

1. *αὐτοῦ*] M¹, *αὐτῇ* M³W· *διαιρέσει*] NB; add. *τῇ αὐτῇ* M¹, *καὶ αὐτή* M⁴; *διαθέσει* W. 2. Post *δίεσιν* (pr.) add. *τὸ τεταρτημόριον τόνου* M⁴. *καὶ δίεσιν*] M², om. M¹. 3. *τὴν ἴσην*] om. W, item lin. 8. 5. *κατά*] *κατὰ τήν* M. 6. *τὸ τριτημόριον* W. *ἴσην* —7. *τρίτῳ*] *ἡμίσειαν ἡμιτονίου τόνου τριημιτόνιον καὶ τὸ διὰ πέντε καὶ τὴν ἴσην τόνῳ καὶ τὴν τετάρτην* W. Post *τρίτῳ* add. *ἀσύνθετον διάστημα* M⁴. *κατὰ δίεσιν*] M⁴W, om. M¹. 9. *ἡμιόλιον τῆς ἐναρμονίου διέσεως*] M⁴, om. M¹W. 9. *καί*] M⁴, om. M¹W. *τεταρτημορίων διέσεων*] NB, *διέσεων* M¹, *δ. τεταρτημορίων* M⁴ *μὲν ἡμιτονίων* W. *ἀσύνθετον*] *σύνθετόν ἐστι* W. Post *διάστημα* in M litura fere 36 litterarum, *τρὶς καὶ ἑπτὰ καὶ εἴκοσι καὶ ἕν* add. W. 10. *κέχρηται χρόᾳ* W. 12. *κέ-*

atque harmoniae quidem color ipsius generis divisione utitur; canitur enim per diesin et aequalem diesin et ditonum.

divisionum vero chromaticarum gravissima est color chromatis mollis; canitur autem per eam diesin, quae est toni pars tertia, et diesin aequalem et intervallum, quod est aequale tono et dimidio et tertiae eius parti; sesquealterum vero chroma canitur per diesin sesquealteram diesis enarmoniae et diesin aequalem et intervallum incompositum septem diesium, quarum unaquaeque est quarta pars toni. toniaeum autem chroma eodem quo genus colore utitur; canitur enim per semitonium et semitonium et triemitonium. nomina autem habent chromata, quae diximus, ex spissis, quae in iis insunt; nam et toniaeum ex tono, qui in eo inest secundum compositionem, et sesquealterum ex diesibus, quae in eo insunt et quae sesquealterae sunt diesium enarmoniarum, molle vero minimi spissi eodem modo chroma, quoniam spissum, quod in eo inest, et remittitur et enervatur.

diatonicarum autem divisionum altera diatonum molle vocatur, altera syntonum. ac mollis diatoni color canitur per semitonium et trium diesium incompositum intervallum et quinque diesium intervallum eodem modo incompositum. syntoni vero diatoni color eandem cum genere communem habet divisionem; canitur enim per semitonium et tonum et tonum.

κληνται W. 14. *αὐτῷ* —16 *ἐλαχίστου*] om. W. 14. *αὐτῷ κατὰ σύνθεσιν τόνου*] N**B**, *αὐτῷ τόνου* eras. M^1, rep. M^4 mg. et supra scr. *κατὰ συνθέσεως*. 15. *ἐνυπαρχουσῶν*] *ἐνυπαρχόντων* M^4. 17. Post *πυκνοῦ* add. *ἡμιόλιον δέ ἐστι ἐλάχιστον πυκνόν* W. *χρῶμα*] *καὶ χρῶμα* W Post *πυκνόν* add. *χρῶμα* codd. 18. *ἐκλύεται*] N, *ἐκ* M^1, *λύεται* add. M^3, *διατήκεται* W. 19. *τῶν δέ*] M^2, *καὶ ἐκ τῶν* W. *μαλακόν*] *καὶ μαλακόν* W. 22. *διέσεων* (pr.)] *διαιρέσεων* W. *καί*] *καὶ κατά* W. 25. *καθ'*] *θ* in litura M^4. *καὶ τόνον* (alt.)] M^3W, om. M^1.

δείκνυνται δὲ καὶ δι' ἀριθμῶν αἱ χρόαι τὸν τρόπον τοῦτον. ὑποτίθεται γὰρ ὁ τόνος εἰς δώδεκά τινα ἐλάχιστα μόρια διαιρούμενος, ὧν ἕκαστον δωδεκατημόριον τόνου καλεῖται· ἀναλόγως δὲ τῷ τόνῳ καὶ τὰ λοιπὰ διαστήματα· τὸ μὲν γὰρ ἡμιτόνιον εἰς ἓξ δωδεκατημόρια, ἡ δὲ δίεσις ἡ μὲν τεταρτημόριος εἰς τρία, ἡ δὲ τριτημόριος εἰς τέσσαρα, ὅλον δὲ τὸ διὰ τεσσάρων εἰς τριάκοντα. ἡ μὲν οὖν ἁρμονία μελῳδηθήσεται κατὰ τριῶν δωδεκατημορίων μέγεθος καὶ γ καὶ κδ, τὸ δὲ μαλακὸν χρῶμα κατὰ δ καὶ δ καὶ κβ, τὸ δὲ ἡμιόλιον χρῶμα κατὰ τέτταρα ἥμισυ καὶ δ(″ καὶ κα, τὸ δὲ τονιαῖον χρῶμα κατὰ ϛ καὶ ϛ καὶ ιη, τὸ δὲ μαλακὸν διάτονον κατὰ ϛ καὶ θ καὶ ιε, τὸ δὲ σύντονον κατὰ ϛ καὶ ιβ καὶ ιβ.

8. Τῶν δὲ συστημάτων διαφοραί εἰσιν ἑπτά. τέσσαρες μὲν αἱ αὐταὶ τοῖς διαστήμασιν, ἥ τε κατὰ μέγεθος καὶ ἡ κατὰ γένος καὶ ἡ τοῦ συμφώνου καὶ διαφώνου καὶ ἡ τοῦ ῥητοῦ καὶ ἀλόγου· τρεῖς δὲ ἴδιαι τῶν συστημάτων διαφοραί εἰσιν, ἡ τοῦ ἑξῆς καὶ ὑπερβατοῦ καὶ ἡ τοῦ συνημμένου καὶ διεζευγμένου καὶ ἡ τοῦ ἀμεταβόλου καὶ ἐμμεταβόλου. μεγέθει μὲν οὖν διαφέρει τὰ μείζω συστήματα τῶν ἐλαττόνων καθάπερ τὸ διὰ πασῶν τοῦ τριτόνου ἢ διαπέντε ἢ διὰ τεσσάρων ἢ τῶν ὁμοίων. γένει δὲ τὰ διατονικὰ τῶν ἐναρμονίων ἢ χρωματικῶν, ἢ τὰ χρωματικὰ ἢ ἐναρμόνια τῶν λοιπῶν. τῇ δὲ τοῦ συμφώνου καὶ διαφώνου διοίσει τὰ ὑπὸ τῶν συμφώνων φθόγγων περιεχόμενα τῶν ὑπὸ διαφώνων. σύμφωνα δέ ἐστιν ἐν τῷ ἀμεταβόλῳ συστήματι ἕξ· ἐλάχιστον μὲν τὸ διὰ τεσσάρων, τόνων δύο ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ ὑπάτην μέσων· δεύτερον δὲ τὸ διὰ πέντε, τόνων τριῶν ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμ-

1. καί] om. W. δι' ἀριθμῶν] **B**, ἀριθμῶ// M, ἀριθμῷ W. 4. τόνου] τόνου τόνος W. 6. τρία] τέσσαρα W. 7. τέσσαρα] τρία W. 16. καὶ διαφώνου] Marc. 322 Lips. 25 Mon. 104, om. cett. 20. συστήματα] συστημάτων W. 22. γένει] γένη M¹. 23. Ante τῶν add. διαφορᾷ W. ἥ (pr.)] καὶ W. τά (alt.) —

designantur autem per numeros quoque colores hoc modo. nam supponitur tonus in duodecim quasdam partes minimas divisus, quarum unaquaeque duodecima pars toni vocatur. eodem modo ac tonus cetera quoque intervalla dividuntur; semitonium enim in sex partes duodecimas, diesis quadrantalis in tres, trientalis in quattuor, totum diatessaron in triginta. atque harmonia canetur per magnitudinem trium partium duodecimarum et trium et viginti quattuor, molle autem chroma per quattuor et quattuor et viginti duarum, sesquealterum chroma per quattuor semis et quattuor semis et viginti unius, toniaeum chroma per sex et sex et duodeviginti, molle diatonum per sex et novem et quindecim, syntonum per sex et duodecim et duodecim.

8. Systematum differentiae sunt septem. quattuor eaedem atque in intervallis, differentia et secundum magnitudinem et secundum genus et consoni atque dissoni et rationalis atque irrationalis; tres autem propriae systematum differentiae sunt, differentia ordinati et praeposteri, coniuncti et disiuncti, immutabilis et mutabilis. ac magnitudine differunt maiora systemata a minoribus, velut diapason a tritono vel a diapente vel a diatessaron vel a similibus. genere autem differunt diatonica ab enarmoniis vel chromaticis, aut chromatica vel enarmonia a reliquis. consoni vero et dissoni differentia different ea, quae consonis sonis continentur, ab iis, quae dissonis. consona autem sunt in immutabili systemate sex; minimum est diatessaron, tonorum duorum semis, quale est consonum ab hypate hypaton ad hypaten meson; secundum diapente, tonorum trium semis, quale est a proslambonemo ad hypaten meson; tertium

---

24. *λοιπῶν*] *τὸ χρῶμα καὶ τὸ ἐναρμόνιον τοῦ διτόνου* W. 25. *διοίσει*] *διαφορᾷ* W. 26. *τῶν ὑπὸ διαφώνων*] *ὁμοίως διοίσει* W. 28. *ἡμίσεος*] *καὶ ἡμίσεως* W, item lin. 30.

βανομένου ἐπὶ ὑπάτην μέσων· τρίτον δὲ τὸ διὰ πασῶν, τόνων ἕξ, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ μέσην· τέταρτον δὲ τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων, τόνων ὀκτὼ καὶ ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην συνημμένων ἢ παρανήτην διεζευγμένων διάτονον· πέμπτον τὸ διὰ πασῶν καὶ διὰ πέντε, τόνων ἐννέα ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην διεζευγμένων· ἕκτον τὸ δὶς διὰ πασῶν, τόνων δώδεκα, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην ὑπερβολαίων. [τὸ δὲ συνημμένον σύστημα πρόεισι μέχρι τετάρτου συμφώνου· πρῶτον γὰρ ἐν αὐτῷ τὸ διὰ τεσσάρων, δεύτερον τὸ διὰ πέντε, τρίτον τὸ διὰ πασῶν, τέταρτον τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων.] ὁ δὲ τῆς φωνῆς τόπος αὔξεται μέχρι τοῦ ὀγδόου συμφώνου, ὅπερ ἐστὶ δὶς διὰ πασῶν καὶ διὰ τεσσάρων καὶ δὶς διὰ πασῶν καὶ διὰ πέντε. διάφωνα δέ ἐστι τά τε ἐλάττω τῶν διὰ τεσσάρων καὶ μεταξὺ τῶν εἰρημένων συμφώνων πάντα.

9. Γίνεται δὲ καὶ σχήματα τοῦ αὐτοῦ μεγέθους ἐκ τῶν αὐτῶν ἀσυνθέτων συγκείμενα καὶ ἀριθμοῦ, εἰ ἡ τάξις αὐτῶν ἀλλοίωσιν λάβοι ἐνυπάρχοντός τινος ἀνομοίου· τὰ γὰρ ἐξ ἴσων πάντων ἢ ὁμοίων σχημάτων ἀλλοίωσιν οὐ ποιεῖ. τοῦ μὲν οὖν διὰ τεσσάρων τρία ἐστὶν εἴδη. πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ ὑπάτην μέσων· δεύτερον τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οἷόν ἐστι

---

1. *ὑπάτην*] M⁴, *ὑπάτης* M, *ὑπάτη* W. 2. *τόνων* —3. *διὰ πασῶν*] om. W. 4. *καὶ ἡμίσεος*] *ἡμίσους* W. 5. *συνημμένων*] *μέσων* W. 6. *διάτονον* — 8. *διεζευγμένων*] om. W. 10. *τό* — 11. *μέχρι*] M³, om. M¹W. *πρῶτον*] M³W, *πρώτων* M¹. *γὰρ ἐν αὐτῷ*] N**B**, *γραφῶν* M¹, *γὰρ αὐτῶν* M⁴, *γράφε* W. 12. *δεύτερον*] M³W, *δευτέρων* M¹, item *τρίτων*. 13. *τέταρτον τὸ διὰ πασῶν*] M³W, om. M¹. *διά* (alt.)] om. W. Post *διὰ τεσσάρων* M⁴ facit signum rei omissae *λυ*; add. *πέμπτον τὸ διὰ πασῶν καὶ διὰ πέντε, ἕκτον τὸ δὶς διὰ πασῶν* W. 14. *αὔξεται*] *αὔξει* W. 15. *δὶς* (utrumque) M³, om. M¹W. 16. *τε*] om. W.

diapason, tonorum sex, quale est a proslambomeno ad mesen, quartum diapason et diatessaron, tonorum octo semis, quale est a proslambomeno ad neten synemmenon sive ad paraneten diezeugmenon diatonon; quintum diapason et diapente, tonorum novem semis, quale est a proslambomeno ad neten diezeugmenon; sextum disdiapason, tonorum duodecim, quale est a proslambomeno ad neten hyperbolaeon. [synemmenon autem systema progreditur usque ad quartum syntonum; primum enim in eo est diatessaron, secundum diapente, tertium diapason, quartum diapason et diatessaron.][1]) vocis autem ambitus augetur usque ad octavum consonum, quod est diapason et diatessaron atque disdiapason et diapente.[2]) dissona vero sunt et ea, quae sunt minora quam diatessaron, et ea, quae sunt inter consona, quae diximus, omnia.

9. Existunt autem etiam formae eiusdem magnitudinis, quae ex iisdem incompositis et eodem numero[3]) sunt compositae, si eorum ordo mutationem subeat, cum dissimile aliquid insit; ea enim, quae ex aequalibus omnibus sive similibus formis constant, mutationem non faciunt. et diatessaron quidem consonantiae species sunt tres. prima est, quae barypycnis comprehenditur, qualis est ab hypate hypaton usque ad hypaten meson; se-

1) Lin. 10 *τό* — 13 *διὰ τεσσάρων* Ian putat interpolatoris esse. v. Mus. Gr. p. 177.

2) Lin. 15 verba *δὶς διὰ πασῶν καὶ διὰ τεσσάρων καί* supervacanea esse iudicat Bellermann ad Anon. p. 73, admodum suspecta sunt Wilsono l. c p. 150sq.

3) Genetivo *ἀριθμοῦ* lin. 20. suo iure offenditur Wilson l. c. p. 387; secundum Aristoxenum p. 74, 15 Meibom (p. 108, 16 Marquard) legi vult *συγκειμένου μεγέθει καὶ ἀριθμῷ.*

17. *τὰ μεταξύ* W. 20. *συγκείμενα*] M^4, *συγκειμένων* M^1. *εἰ*] om. M^1, in ras. W. 21. *τάξις* M^1. 24. *ἐστίν*] in ras. W. *εἴδη*] *εἰ* — in ras. W. *ὑπό*] *ἀπό* M^1W. 25. *ὑπάτην μέσων*] M^3, *ὑπά. των* W.

τὸ ἀπὸ παρυπάτης ὑπάτων ἐπὶ παρυπάτην μέσων· τρίτον δὲ τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ λιχανοῦ ὑπάτων ἐπὶ λιχανὸν μέσων. ἐν μὲν οὖν ἁρμονίᾳ καὶ χρώματι πρὸς τὴν τοῦ πυκνοῦ σχέσιν τὰ σχήματα τῶν συμφώνων λαμβάνεται, ἐν δὲ διατόνῳ ἐπὶ πυκνοῦ οὐ γίνεται· διαιρεῖται δὲ τὸ γένος τοῦτο εἰς ἡμιτόνια καὶ τόνους. ὑπάρχει δὲ ἐν τῇ διὰ τεσσάρων συμφωνίᾳ ἡμιτόνιον μὲν ἓν, τόνοι δὲ δύο· ὁμοίως δὲ κἀν τῷ διὰ πέντε ἡμιτόνιον μὲν ἓν, τόνοι δὲ τρεῖς· ἐν δὲ τῷ διὰ πασῶν ἡμιτόνια μὲν δύο, τόνοι δὲ πέντε· πρὸς δὲ τὴν τῶν ἡμιτονίων σχέσιν τὰ σχήματα θεωρεῖται. τοῦ οὖν διὰ τεσσάρων πρῶτον μέν ἐστιν εἶδος, οὗ τὸ ἡμιτόνιον ἐπὶ τὸ βαρὺ τῶν τόνων κεῖται, δεύτερον δέ, οὗ πρῶτον ἐπὶ τὸ ὀξύ, τρίτον, οὗ μέσον τῶν τόνων. ἔστι δὲ καὶ ταῦτα ὁμοίως τοῖς λοιποῖς γένεσιν ἀπὸ τῶν αὐτῶν φθόγγων ἐπὶ τοὺς αὐτούς.

τοῦ δὲ διὰ πέντε τέσσαρά ἐστι σχήματα. πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης μέσων ἐπὶ παραμέσην. δεύτερον δὲ τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οὗ δεύτερος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστιν ἀπὸ παρυπάτης μέσων ἐπὶ τριτην διεζευγμένων. τρίτον δὲ τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οὗ τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ μέσων ἐπὶ παρανήτην διεζευγμένων. τέταρτον τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ βαρύ· ἔστι δὲ ἀπὸ μέσης ἐπὶ νήτην διεζευγμένων ἢ ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην μέσων. ἐν δὲ διατόνῳ πρῶτον μέν ἐστι σχῆμα, οὗ πρῶτον

---

1. παρυπάτην] M^3, ὑπάτων M^1W. 3. μέσων] W, μέσον M^1. 6. δέ] an γάρ? Jan. 8. τόνοι] W, τονιαῖα M. 11. πρὸς δὲ τήν] προσδέοι M^1. 14. πρῶτον ἐπὶ τὸ ὀξύ] M^1W, μέσον τῶν τόνων M^4. μέσον] **B**, μέσων M^1W, πρῶτον ἐπὶ τὸ ὀξὺ τῶν τόνων M^4. 15. ἔστι] ἔχει M^4. Ante γένεσιν add. τήν M^4 mg. 17. τοῦ] τοῦτο M^1. 21. ἔστιν] M^1, ἔστι δέ cett. 25. τέταρτον δέ M^4. πρῶτος] Jan, τέταρτος codd. 26. ἐ. τ. βαρύ] N**B**, om.

cunda ea, quae mesopycnis comprehenditur, qualis est a parhypate hypaton ad parhypaten meson; tertia autem, quae oxypycnis comprehenditur, qualis est a lichano hypaton ad lichanum meson. atque in harmonia et chromate ad rationem spissi consonorum species sumuntur, in diatono vero spissum non est; dividitur autem hoc genus in semitonia et tonos. est autem in diatessaron consonantia semitonium unum, toni duo. eadem ratione etiam in diapente semitonium unum, soni tres; in diapason semitonia duo, toni quinque; ad semitoniorum autem rationem formae considerantur. diatessaron igitur consonantiae prima est species, cuius semitonium ad grave tonorum iacet; secunda, cuius primum ad acutum, tertia, cuius tonorum est medium.[1]) sunt autem hae quoque similiter reliquis generibus ab iisdem sonis ad eosdem.

diapente consonantiae quattuor sunt formae. prima est, quae barypycnis comprehenditur, cuius tonus primus iacet ad acutum; est autem a parhypate meson ad paramesen. secunda est, quae mesopycnis comprehenditur et cuius tonus secundus ad acutum; est autem a parhypate meson ad triten diezeugmenon. tertia est, quae oxypycnis comprehenditur et cuius tonus tertius ad acutum; est autem a lichano meson ad paraneten diezeugmenon. quarta est, quae barypycnis comprehenditur et cuius tonus primus ad grave; est autem a mese ad neten diezeugmenon sive a proslambanomeno ad hypaten meson. in diatono vero prima est forma,

1) Lin. 12 *τοῦ* — 14 *τόνων*. hunc locum apud Meibom confusum primus e coniectura sanavit Boeckh, de metris Pindari p. 211.

M¹W, *ἐ. τ. ὀξύ* M⁴. 27. *προσλαμβανομένου*] — *ων* M W. 28. *οὖ πρῶτον* — p. 210 lin. 2. *δεύτερον ἐπὶ τὸ ὀξύ*] om. M¹. *οὖ πρῶτον*] mg. add. m. 1 W.

τὸ ἡμιτόνιον ἐπὶ τὸ βαρὺ κεῖται, δεύτερον δέ, οὗ πρῶτον ἐπὶ τὸ ὀξύ, τρίτον, οὗ δεύτερον ἐπὶ τὸ ὀξύ, τέταρτον, οὗ πρῶτον ἐπὶ τὸ βαρύ.

τοῦ δὲ διὰ πασῶν εἴδη ἐστὶν ἑπτά. πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ παραμέσην, ἐκαλεῖτο δὲ ὑπὸ τῶν ἀρχαίων μιξολύδιον.

δεύτερον τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οὗ δεύτερος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ παρυπάτης ὑπάτων ἐπὶ τρίτην διεζευγμένων, ἐκαλεῖτο δὲ λύδιον.

τρίτον τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οὗ τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ ὑπάτων ἐπὶ παρανήτην διεζευγμένων, ἐκαλεῖτο δὲ φρύγιον.

τέταρτον τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ τέταρτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης μέσων ἐπὶ νήτην διεζευγμένων, ἐκαλεῖτο δὲ δώριον.

πέμπτον τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οὗ πέμπτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ παρυπάτης μέσων ἐπὶ τρίτην ὑπερβολαίων, ἐκαλεῖτο δὲ ὑπολύδιον.

ἕκτον τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οὗ ἕκτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ μέσων ἐπὶ παρανήτην ὑπερβολαίων, ἐκαλεῖτο δὲ ὑποφρύγιον.

ἕβδομον τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ βαρύ· ἔστι δὲ ἀπὸ μέσης ἐπὶ νήτην ὑπερβολαίων ἢ ἀπὸ προσλαμβανομένου ἐπὶ μέσην, ἐκαλεῖτο δὲ κοινὸν καὶ λοκριστὶ καὶ ὑποδώριον.

ἐν δὲ διατόνῳ πρῶτον μέν ἐστιν εἶδος τὸ διὰ πασῶν, οὗ πρῶτον μὲν ἐπὶ τὸ βαρύ, τέταρτον δὲ ἐπὶ τὸ ὀξύ ἐστι τὸ ἡμιτόνιον· δεύτερον δέ, οὗ τρίτον μὲν ἐπὶ τὸ βαρύ, πρῶτον δὲ ἐπὶ τὸ ὀξύ· τρίτον δέ, οὗ δεύτερον

---

1. κεῖται] WB, om. cett. 3. πρῶτον] τρίτον codd., cf. p. 208 lin. 25. 6. ἔστι δέ] ἥ W. 21. ἐπί (alt.)] M⁴, ἥ M¹W. 26. λοκριστί] W, λοκροστί M¹, λοκρικόν M³. καί (alt.)] om. W. 27. διατόνῳ] τῷ δ. M³. εἶδός ἐστι W. 28. οὗ] οὐ M. μὲν

cuius semitonium primum ad grave iacet, secunda, cuius primum ad acutum, tertia, cuius secundum ad acutum, quarta, cuius primum ad grave.

diapason consonantiae species sunt septem. ac prima est, quae barypycnis comprehenditur et cuius tonus primus est ad acutum; est autem ab hypate hypaton ad paramesen; appellabatur vero a veteribus mixolydia.

secunda est, quae mesopycnis comprehenditur et cuius tonus secundus ad acutum; est autem a parhypate hypaton ad triten diezeugmenon; appellabatur vero lydia.

tertia est, quae oxypycnis comprehenditur et cuius tonus tertius ad acutum; est autem a lichano hypaton ad paraneten diezeugmenon; appellabatur vero phrygia.

quarta est, quae barypycnis comprehenditur et cuius tonus quartus ad acutum; est ab hypate meson ad neten diezeugmenon; appellabatur vero doria.

quinta est, quae mesopycnis comprehenditur et cuius tonus quintus ad acutum; est a parhypate meson ad triten hyperbolaeon; appellabatur vero hypolydia.

sexta est, quae oxypycnis comprehenditur et cuius tonus sextus ad acutum; est autem a lichano meson ad paraneten hyperbolaeon; appellabatur vero hypophrygia.

septima est, quae barypycnis comprehenditur et cuius tonus primus ad grave; est autem a mese ad neten hyperbolaeon sive a proslambomeno ad mesen; appellabatur vero communis et locrensis et hypodoria.[1])

in diatono prima species id est diapason, cuius semitonium primum est ad grave, quartum ad acutum; secunda, cuius semitonium tertium ad grave, primum ad

1) Ea, quae sequuntur de genere diatono, Jan interpolatori tribuit; v. Mus. Gr. p. 177.

ἐπὶ τὸ βαρύ] M^3, *τε καί* M^{1}W. *δὲ ἐπὶ τὸ ὀξύ ἐστι*] *ἐπί* M^{1}W. 29. *τρίτον μὲν ἐπὶ τὸ βαρύ*] om. M^{1}W. 30. *δέ* (pr.)] om. M^{1}W.

ἐφ' ἑκάτερα· τέταρτον δὲ οὗ πρῶτον μὲν ἐπὶ τὸ βαρύ, τρίτον δὲ ἐπὶ τὸ ὀξύ· πέμπτον δέ, οὗ τέταρτον μὲν ἐπὶ τὸ βαρύ, πρῶτον δὲ ἐπὶ τὸ ὀξύ· ἕκτον δέ, οὗ τρίτον μὲν ἐπὶ τὸ βαρύ, δεύτερον δὲ ἐπὶ τὸ ὀξύ· ἕβδομον δέ, οὗ δεύτερον μὲν ἐπὶ τὸ βαρύ, τρίτον δὲ ἐπὶ τὸ ὀξύ. ἔστι δὲ καὶ ταῦτα ἀπὸ τῶν αὐτῶν φθόγγων ἐπὶ τοὺς αὐτούς, καθάπερ ἐπὶ τῆς ἁρμονίας καὶ τοῦ χρώματος, καὶ ἐκαλεῖτο τοῖς αὐτοῖς ὀνόμασι.

10. Τῇ δὲ τοῦ ῥητοῦ καὶ ἀλόγου διαφορᾷ διοίσει συστήματα, ὅσα ἐκ ῥητῶν διαστημάτων σύγκειται, τῶν ἐξ ἀλόγων. ὅσα μὲν γὰρ ἐκ ῥητῶν ῥητά ἐστιν, ὅσα δὲ ἐξ ἀλόγων ἄλογα.

τῇ δὲ τοῦ ἑξῆς καὶ ὑπερβατοῦ διαφορᾷ διοίσει συστήματα τὰ διὰ τῶν ἑξῆς φθόγγων μελῳδούμενα τῶν καθ' ὑπερβατόν.

τῇ δὲ τοῦ συνημμένου καὶ διεζευγμένου διαφορᾷ διοίσει συστήματα, ὅσα διὰ τῶν συνημμένων τεταχόρδων τὴν σύνθεσιν ἔχει τῶν διὰ τῶν διεζευγμένων. ἔστι δὲ συναφὴ μὲν δύο τετραχόρδων ἑξῆς μελῳδουμένων, ὁμοίων κατὰ σχῆμα, φθόγγος κοινός. διάζευξις δέ ἐστι δύο τετραχόρδων ἑξῆς μελῳδουμένων, ὁμοίων κατὰ σχῆμα, τόνος ἀνὰ μέσον. εἰσὶ δὲ αἱ πᾶσαι συναφαὶ τρεῖς· μέση, ὀξυτάτη, βαρυτάτη. καὶ ἔστι βαρυτάτη μὲν ἡ [ἐκ] τοῦ ὑπάτων καὶ μέσων τετραχόρδου· κοινὸς δὲ αὐτῇ συνάπτει φθόγγος ὑπάτη μέσων. μέση δέ ἐστι συναφὴ ἡ τοῦ μέσων καὶ νητῶν συνημμένων· κοινὸς δὲ αὐτῇ συνάπτει φθόγγος μέση. ὀξυτάτη δέ ἐστι συναφὴ

---

2. *τρίτον*] *τέταρτον* W. *τέταρτον μέν*] *πρῶτον* M¹W. 3. *πρῶτον δέ*] *τέταρτον* M¹, *δεύτερον* W. *οὗ τρίτον μὲν ἐπὶ τὸ βαρύ, δεύτερον δέ*] in lit. M⁴. *τρίτον*] *πρότερον* W. 5. *δεύτερον*] *πρότερον* W. *βαρύ*] *ὀξύ* M¹W. *τρίτον*] *πέμπτον* M⁴, *δεύτερον* W. *ὀξύ*] *βαρύ* W. 6. *καί*] om. W, item lin. 7 (alt.) 10. *τῶν*] *η* (sic) W. 11. *γάρ*] om. W. *ῥητὰ ἐκ ῥητῶν* codd. 13. *διοίσει*] *δύοις εἰς* (sic) W, item lin. 17. 14. *τά*] ins. M¹, om. W. *τῶν* (alt)] Jan., *τῇ* codd. 17. Ante *συστήματα* add. *ὁμοίως* W. *ὅσα*] *ἅ* W. *τῶν*] *τῶν διέσεων* M¹W.

acutum; tertia, cuius semitonium secundum in utramque partem; quarta, cuius semitonium primum ad grave, tertium ad acutum; quinta, cuius semitonium quartum ad grave, primum ad acutum; sexta, cuius semitonium tertium ad grave, primum ad acutum; septima, cuius semitonium secundum ad grave, tertium ad acutum. sunt autem etiam hae species ab iisdem sonis ad eosdem ut in harmonia et chromate appellanturque iisdem nominibus.

10. Rationalis autem et irrationalis differentia differrent systemata, quotquot sunt ex intervallis rationalibus composita, ab iis, quae ex irrationalibus; nam quotquot ex rationalibus sunt composita, rationalia sunt; quotquot ex irrationalibus, irrationalia.

continui et praeposteri differentia different ea systemata, quae per sonos deinceps positos canuntur, ab iis, quae secundum praeposterum.

coniuncti autem et disiuncti differentia different systemata, quotquot per coniuncta tetrachorda compositionem habent, ab iis, quae per disiuncta. coniunctio est duorum tetrachordorum, quae deinceps canuntur et similia sunt specie, sonus communis. disiunctio vero est duorum tetrachordorum, quae deinceps canuntur et similia sunt specie, tonus medius. sunt autem coniunctiones universae tres: media, acutissima, gravissima. atque gravissima est coniunctio tetrachordi [1]) hypaton et meson; communis ei contiguus est sonus hypate meson. media est coniunctio intervalli meson et neton synemmenon; communis ei contiguus est sonus

1) Lin. 24, 26 et p. 214, 1 Wilson l. c. p. 390 praefert *ἡ ἐκ*; ante *μέσων* addit *τοῦ*.

τῶν τετραχόρδων W. 18. *διὰ τῶν*] om. MW. 22. *μέσων* W. 24. *ἐκ*] del. Jan. 25. *αὐτῇ*] M¹W, *αὐτά* M³, item lin. 27 et p. 214 lin. 2. *ὑπάτη* — 27. *φθόγγος*] om. W. 26. *ἡ*] Jan, *ἐκ* (vel *η*) codd., cf. lin. 24 et p. 214 lin. 1, 3. *νητῶν*] NB, erasum in M. *συνημμένων*] *-νη* M¹.

ἡ τοῦ διεζευγμένων καὶ τοῦ ὑπερβολαίων· κοινὸς δὲ αὐτῇ συνάπτει φθόγγος νήτη διεζευγμένων. διάζευξις δέ ἐστι μία ἡ τοῦ μέσων καὶ νητῶν διεζευγμένων· κοινὸς δὲ αὐτὰ διαζεύγνυσι τόνος ὁ μεταξὺ μέσης καὶ παραμέσης.

τέλεια δέ ἐστι συστήματα δύο, ὧν τὸ μὲν ἔλαττον, τὸ δὲ μεῖζον. καὶ ἔστι τὸ μὲν ἔλαττον κατὰ συναφὴν ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην συνημμένων. ὑπάρχει δὲ ἐν αὐτῷ τετράχορδα τρία συνημμένα τάδε· ὑπάτων μέσων συνημμένων, καὶ τόνος ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην ὑπάτων· συμφώνῳ δὲ ὁρίζεται τῷ διὰ πασῶν καὶ διὰ τεσσάρων.

τὸ δὲ μεῖζόν ἐστι κατὰ διάζευξιν ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην ὑπερβολαίων. ὑπάρχει δὲ ἐν αὐτῷ τετράχορδα μὲν τέσσαρα διὰ δυοῖν διεζευγμένα, ἀλλήλοις δὲ συνημμένα, τό τε ὑπάτων καὶ μέσων, καὶ διεζευγμένων καὶ ὑπερβολαίων, καὶ ἔτι τόνοι δύο, ὅ τε ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην ὑπάτων καὶ ὁ ἀπὸ παραμέσης ἐπὶ μέσην. συμφώνῳ δὲ διορίζεται τῷ δὶς διὰ πασῶν.

πέντε δὲ ὄντων τετραχόρδων ἐν τῷ ἀμεταβόλῳ συστήματι, ὅπερ ἐστὶν ἐξ ἀμφοῖν τελείοιν σύνθετον, τὰ μὲν δύο κοινά ἐστιν ἑκατέρῳ τῶν τελείων, τό τε ὑπάτων καὶ μέσων· ἴδια δὲ τοῦ μὲν κατὰ συναφὴν τὸ νητῶν συνημμένων, τοῦ δὲ κατὰ διάζευξιν τὸ νητῶν διεζευγμένων καὶ νητῶν ὑπερβολαίων.

11. Τῇ δὲ τοῦ ἀμεταβόλου καὶ ἐμμεταβόλου διοίσει, καθ' ἣν διαφέρει τὰ ἁπλᾶ συστήματα τῶν μὴ ἁπλῶν. ἁπλᾶ μὲν οὖν ἐστι τὰ πρὸς μίαν μέσην ἡρμοσμένα, διπλᾶ δὲ τὰ πρὸς δύο, τριπλᾶ δὲ τὰ πρὸς τρεῖς, πολλα-

---

1. ἡ] N^2, ἡ ἐκ **B**, ἐκ N^1. 3. ἡ] ἡ ἐκ NB, ἐκ MW. νητῶν] νη- in lit. M^4. 4. αὐτά] αὐτήν W. τόνος] τόπος W. 8. ἀπὸ] om. W, πο M^4 supra. νήτην] M^4, νήτη M^1. 12. συμφώνῳ] -ον W. τῷ] τό W, item lin. 19. 16. τε] om. W. 19. συμ-

mese. acutissima est coniunctio tetrachordi diezeugmenon et hyperbolaeon; communis ei contiguus est sonus nete diezeugmenon. disiunctio vero est una, disiunctio tetrachordi meson et neton diezeugmenon; communis ea disiungit tonus, qui est inter mesen et paramesen.

perfecta systemata sunt duo, quorum unum minus, alterum maius. ac minus est secundum coniunctionem a proslambanomeno ad neten synemmenon. in eo autem haec insunt tetrachorda tria coniuncta: hypaton meson synemmenon, et tonus a proslambanomeno ad hypaten hypaton; terminatur autem intervallo consono diapason et diatessaron.

maius vero est secundum disiunctionem a proslambanomeno ad neten hyperbolaeon. insunt in eo quattuor tetrachorda, quorum bina sunt a binis disiuncta, inter se vero coniuncta, hypaton et meson, diezeugmenon et hyperbolaeon, et praeterea duo toni, alter a proslambanomeno ad hypaten hypaton, alter a paramese ad mesen. terminatur autem intervallo consono disdiapason.

cum quinque sint tetrachorda in systemate immutabili, quod est ex ambobus perfectis compositum, duo communia sunt utrique perfecto, hypaton et meson; propria autem systematis secundum coniunctionem neton synemmenon, systematis vero secundum disiunctionem neton diezeugmenon et neton hyperbolaeon.

11. Differentia immutabilis et mutabilis different systemata, qua simplicia a non simplicibus. ac simplicia sunt, quae ad unam mesen harmonice sunt composita, duplicia, quae ad duas mesas, triplicia, quae ad

---

φώνω] e corr. M, *συμφώνων* M¹. *διορίζεται*] M¹W, *ὁρίζεται* M⁴. 21. *ἐμμεταβόλῳ* M⁴. 22. *τελείοιν*] *δύο τελείων* W. 23. *ἑκατέρῳ*] N, *ἑκατέρων* MW. 24. *μέσων*] add. *καὶ διεζευγμένων* W. *τό*] M³, *τῶν* M¹W. 25. *τό*] *τῶν* M¹. 30. *τρι(πλᾶ)* M⁴ in lit.

πλάσια δὲ τὰ πρὸς πλείονας. ἔστι δὲ μέση φθόγγου δύναμις, ᾧ συμβέβηκε κατὰ μὲν διάξευξιν ἐπὶ μὲν τὸ ὀξὺ τόνον ἔχειν ἀσύνθετον ἀπαθῆ ὄντα τοῦ συστήματος, ἐπὶ δὲ τὸ βαρὺ δίτονον ἢ ⟨τριημιτόνιον ἢ τόνον⟩ ἀσύνθετον· κατὰ δὲ συναφήν, ᾧ συμβαίνει τριῶν τετραχόρδων συνημμένων ἤτοι τοῦ μέσου ὀξυτάτῳ εἶναι, ἤτοι τοῦ ὀξυτάτου βαρυτάτῳ. ἀπὸ δὲ τῆς μέσης καὶ τῶν λοιπῶν φθόγγων αἱ δυνάμεις γνωρίζονται· τὸ γὰρ πῶς ἔχειν ἕκαστον αὐτῶν πρὸς τὴν μέσην φανερῶς γίνεται.

12. Τόνος δὲ λέγεται τετραχῶς· καὶ γὰρ ὡς φθόγγος καὶ ὡς διάστημα καὶ ὡς τόπος φωνῆς καὶ ὡς τάσις. ἐπὶ μὲν οὖν τοῦ φθόγγου χρῶνται τῷ ὀνόματι οἱ λέγοντες ἑπτάτονον τὴν φόρμιγγα, καθάπερ Τέρπανδρος καὶ Ἴων. ὁ μὲν γάρ φησιν·

ἡμεῖς τοι τετράγηρυν ἀποστέρξαντες ἀοιδὰν
ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους.

ὁ δὲ·

ἐνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχοισα
ει συμφωνούσας ἁρμονίας τριόδους·

πρὶν μέν σ' ἑπτάτονον ψάλλον δὶς τέσσαρα πάντες
Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι.

καὶ ἕτεροι δὲ οὐκ ὀλίγοι κέχρηνται τῷ ὀνόματι· ἐπὶ δὲ τοῦ διαστήματος, ὅταν λέγωμεν ἀπὸ μέσης ἐπὶ παραμέσην τόνον εἶναι.

ὁ δὲ ὡς τόπος φωνῆς, ὅταν λέγωμεν δώριον ἢ

---

3. ἔχειν] ἔχει M¹W. ἀπαθῆ — 4. δίτονον] om. M. ἀπαθῆ ὄντα] Jan, ἀπαθοῦς ὄντος W. τοῦ συστήματος] τῆς τῶν γενῶν διαφορᾶς malit Jan. 4. ἤ (pr.)] ἤτοι σύνθετον ἤ W. τριημιτόνιον ἢ τόνον] add. Jan. ἢ ἀσύνθετον] orbe inclusit M⁴. 8. αἱ] om. M¹W, add. M⁴. δυνάμεις] δυνάμις M¹ (corr. M⁴), δυνάμει W. 10. ὡς] W, om. cett. 16. κελαδήσωμεν M. 18. ἐνδεκάχορδε] primus Bergk (Poetae lyr. p. 579³, ⁵, vol. II p. 253⁴), ἐν δεκάχορδε M, ἐνδεκαχόρδῳ W. Ante δεκαβάμονα hab. τήν codd., primus delevit G. Hermann 18. 19. ἔχοισα ει] ἔχοις ἀεί τάς MW (ἔχεις W) Pena, ἔχουσα τάς Meibom Bergk Hiller-Crusius (Anth. lyr. 1904 p. 126), ἔχοισα εἰς Wilamowitz

tres, multiplicia, quae ad plures. mese autem est gradus soni, cui contigit, ut secundum disiunctionem ad acutum versus tonum habeat incompositum, qui est systematis expers[1]), ad grave versus ditonum aut triemitonium aut tonum incompositum; secundum coniunctionem vero, cui contingit, ut trium tetrachordorum coniunctorum vel medii sit acutissimus vel acutissimi gravissimus. a mese ceterorum quoque sonorum gradus cognoscuntur; ut enim unus quisque eorum ad mesen se habeat, manifestum est.

12. Tonus autem dicitur quadrupliciter; ut sonus enim, ut intervallum, ut ambitus vocis, utque tensio. pro sono igitur hoc nomine utuntur, qui heptatonam dicunt phorminga, ut Terpander et Ion. alter enim nos, inquit, tetratonum aspernati cantum phorminge heptatona novos sonabimus hymnos.

alter autem: lyra undecim chordarum, decem gradum ordinem habens trivias harmonias consonantes; ante quidem te pulsabant heptatonam binis tetrachordis omnes Graeci tenuem cantum tollentes.

et alii non pauci hoc nomine usi sunt; pro intervallo vero, quando dicimus, a mese ad paramesen esse tonum.

tonus est autem quasi locus vocis, quando dicimus

---

1) Wilson l. c. p. 390 Jani coniecturam *ἀπαθῆ ὄντα* (lin. 3) probat; quod idem malit *τῆς τῶν γενῶν διαφορᾶς* pro *τοῦ συστήματος*, improbat; p. 389 emendationem l. 4 *τριημιτόνιον ἢ τόνον* superfluere arbitratur; et haec quidem recte.

(Hermes 37 p. 305sq., Timotheus Perser p. 75 adn. 1), *ἔχ. εἰ* Diels (Festschrift f. Gomperz p. 11), *ἔχ. τρεῖς* Fr. Marx, *ἔχ. τῶν (συμφωνουσῶν ἁρμονιῶν)* Th. Reinach (Revue des ét. Grecques XIV p. 18). *τριόδους*] primus Meibom, *τριώδους* codd. (*ω* in ras. m 2 W). 20. *πρίν*] *πλήν* W, *πρίν* supra m. 2. *σ'*] *οὖν* W. *ψάλον* W. *δίς*] Bergk p. 427[1] Jan Diels Reinach Fr. Marx, *διά* codd., Bergk p. 463[2] Hiller-Crusius Wilamowitz. 24. *εἶναι τόνον* W. 25. *τόπος ὅταν λέγωμεν φωνῆς* codd.

φρύγιον ἢ λύδιον ἢ τῶν ἄλλων τινά. εἰσὶ δὲ κατὰ Ἀριστόξενον ιγ τόνοι·

ὑπερμιξολύδιος καὶ ὑπερφρύγιος καλούμενος·

μιξολύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος, ὧν ὁ ὀξύτερος καὶ ὑπεριάστιος καλεῖται, ὁ δὲ βαρύτερος καὶ ὑπερδώριος·

λύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος, ὧν ὁ βαρύτερος καὶ αἰόλιος καλεῖται·

φρύγιοι δύο, ὀξύτερος καὶ βαρύτερος, ὧν ὁ βαρύτερος καὶ ἰάστιος καλεῖται·

δώριος εἷς·

ὑπολύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος, ὃς καὶ ὑποαιόλιος καλεῖται·

ὑποφρύγιοι δύο, ὧν ὁ βαρύτερος καὶ ὑποιάστιος καλεῖται·

ὑποδώριος.

τούτων ὀξύτατος μὲν ὁ ⟨ὑπερμιξολύδιος, βαρύτατος δὲ ὁ ὑπο⟩δώριος· οἱ δὲ ἑξῆς οἱ ἀπὸ τῶν ὀξυτάτων μέχρι τοῦ βαρυτάτου ἡμιτόνιον ἀλλήλων ὑπερέχοντες, παράλληλοι δὲ δύο ⟨τόνον, οἱ δὲ τρίτοι⟩ τριημιτόνιον· ἀναλόγως δὲ ἕξει καὶ ἐπὶ τῆς τῶν λοιπῶν τόνων διαστάσεως. ὁ δὲ ὑπερμιξολύδιος τοῦ ὑποδωρίου τῷ διὰ πασῶν ἐστιν ὀξύτερος.

ὁ δὲ ὡς τάσις τόνος λέγεται, καθ' ὃ φαμεν ὀξυτονεῖν τινα ἢ βαρυτονεῖν ἢ μέσῳ τῷ τῆς φωνῆς τόνῳ κεχρῆσθαι.

13. Μεταβολὴ δὲ λέγεται τετραχῶς· καὶ γὰρ κατὰ γένος καὶ κατὰ σύστημα καὶ κατὰ τόνον καὶ κατὰ μελοποιΐαν. κατὰ μὲν οὖν γένος γίνεται μεταβολή, ὅταν ἐκ

---

2. *τόνοι*] W, om. M. 3. *ὑπερφρύγιος*] *ὁ ὑποφρύγιος* W. 4. *καί*] om. W. 5. *ὑπεριάστιος*] corr. ex *ὑποιάστιος* M. 6. *ὑπερδώριος*] *ὑποδώριος* W. 7. *ὧν ὁ βαρύτερος*] W, *ὃς* M³, om. M¹. 9. A *καὶ βαρύτερος* ad 12 *βαρύτερος* errant M¹W; quae cum M⁴ corrigeret, etiam quae praecedunt (a lin. 8 *καλεῖται*) erasit et litteris minoribus scripsit. 16. *καὶ ὑπο-*

dorium vel phrygium vel lydium vel ceterorum aliquem. sunt autem secundum Aristoxenum toni tredecim:

hypermixolydius, qui idem hyperphrygius appellatur;

mixolydii duo, acutior et gravior, quorum acutior etiam hyperastius appellatur, gravior etiam hyperdorius;

lydii duo, acutior et gravior, quorum gravior etiam aeolius appellatur;

phrygii duo, acutior et gravior, quorum gravior etiam iastius appellatur;

dorius unus;

hypolydii duo, acutior et gravior, qui idem hypoaeolius appellatur;

hypophrygii duo, quorum gravior etiam hypoiastius appellatur;

hypodorius.

horum acutissimus est hypermixolydius, gravissimus hypodorius; toni autem deinceps ab acutissimis usque ad gravissimum sequentes inter se superant semitonio, paralleli duo tono, tertii triemitonio; similiter se habebit ceterorum tonorum distantia. hypermixolydius vero hypodorio consonantia diapason est acutior.

ut tensio autem tonus dicitur, quatenus dicimus, acuto tono aliquem canere vel gravi vel medio vocis tono uti.

13. Mutatio dicitur quadrupliciter: secundum genus enim et secundum systema et secundum tonum et secundum melopoeiam. ac secundum genus fit mutatio,

---

δώριος W. 17. ὑπερμιξ. — 18. ὑπο in ὑποδώριος] add. Jan. 18 μέχρι] ἄχρι W. 19. ἡμιτονίῳ M^4. ὑπερέχοντες **NB**, om. M^1W, M^3 corrigens renovat ἡμιτόνιον — 20. τριημιτόνιον. 20. τόνον, οἱ δὲ τρίτοι] add. Jan. τριημιτονίῳ M^3. 21. διατάσεως W. 22. ὑπερμιξ.] **NB**, ὑπομιξ. M^1W. 28. μελωποιΐαν M^1. 29. γίνεται ἡ μεταβολή W.

διατόνου εἰς χρῶμα ἢ ἁρμονίαν, ἢ ἐκ χρώματος ἢ ἁρμονίας εἴς τι τῶν λοιπῶν μεταβολὴ γένηται. κατὰ σύστημα δέ, ὅταν ἐκ συναφῆς εἰς διάζευξιν ἢ ἀνάπαλιν μεταβολὴ γένηται. κατὰ τόνον δέ, ὅταν ἐκ δωρίων εἰς φρύγια, ἢ ἐκ φρυγίων εἰς λύδια ἢ ὑπερμιξολύδια ἢ ὑποδώρια, ἢ καθόλου ὅταν ἔκ τινος τῶν δεκατριῶν τόνων εἴς τινα τῶν λοιπῶν μεταβολὴ γένηται. γίνονται δὲ μεταβολαὶ ἀπὸ τῆς ἡμιτονιαίας ἀρξάμεναι μέχρι τοῦ διὰ πασῶν, ὧν αἱ μὲν κατὰ σύμφωνα γίνονται διαστήματα, αἱ δὲ κατὰ διάφωνα. τούτων δ' ἐμμελεῖς μὲν αἵ τε κατὰ σύμφωνα γινόμενα διαστήματα καὶ ἡ τονιαία. τῶν δὲ λοιπῶν αἱ μὲν ἧσσον ἐμμελεῖς ἧττον ἢ ἐκμελεῖς, αἱ δὲ μᾶλλον ⟨ἀπέχουσαι μᾶλλον⟩. ἐν ὅσαις μὲν οὖν αὐτῶν πλείων ἡ κοινωνία, ἐμμελέστεραί ⟨εἰσιν⟩, ἐν ὅσαις δὲ ἐλάττων, ἐκμελέστεραι· ἐπειδὴ ἀναγκαῖον πάσῃ μεταβολῇ κοινόν τι ὑπάρχειν ἢ φθόγγον ἢ διάστημα ἢ σύστημα. λαμβάνεται δὲ ἡ κοινωνία καθ' ὁμοιότητα φθόγγων· ὅταν γὰρ ἐπ' ἀλλήλους ἐν ταῖς μεταβολαῖς πέσωσιν ὅμοιοι φθόγγοι κατὰ τὴν τοῦ πυκνοῦ μετοχήν, ἐμμελὴς γίνεται ἡ μεταβολή, ὅταν δὲ ἀνόμοιοι, ἐκμελής.

κατὰ δὲ μελοποιΐαν γίνεται μεταβολή, ὅταν ἐκ διασταλτικοῦ ἤθους εἰς συσταλτικὸν ἢ ἡσυχαστικόν, ἢ ἐξ ἡσυχαστικοῦ εἴς τι τῶν λοιπῶν ἡ μεταβολὴ γένηται. ἔστι δὲ διασταλτικὸν μὲν ἦθος μελοποιΐας, δι' οὗ σημαίνεται μεγαλοπρέπεια καὶ δίαρμα ψυχῆς ἀνδρῶδες καὶ πράξεις ἡρωϊκαὶ καὶ πάθη τούτοις οἰκεῖα. χρῆται δὲ τούτοις μάλιστα μὲν ἡ τραγῳδία καὶ τῶν λοιπῶν δὲ ὅσα τούτου ἔχεται τοῦ χαρακτῆρος. συσταλτικὸν δέ, δι' οὗ συνάγεται ἡ ψυχὴ εἰς ταπεινότητα καὶ ἄνανδρον διά-

---

8. ἡμιτονιαίας] Jan., ἡμιτονίας codd. ἀρξάμεναι] NB, ἀρξάμενος videtur M^1, ἀρξαμένης M^2W. 10. τούτων δ' ἐμμελεῖς μέν] W, τούτων δ' αἱ μὲν ἐμμ. M^4, τούτων ἐμμελεῖς μὲν ἢ ἐκμελεῖς M^1, qui errat ad lin. 12. 12. ἧσσον — ἧττον] ἧσσον W. ἧττον] om. M^1. 13. ἀπέχουσαι μᾶλλον] add. Jan, πλείων] πλεῖον M^1? 14. ἐν — 15. ἐκμελέστεραι] NB, om. M^1W. 16. φθόγ-

